κα΄.

**Ἰωάννῃ πατρικίῳ καὶ μυστικῷ.**

Πάριμεν, ὦ φιλότης, πάριμεν, οὐκ ἀνασχόμενοι τὸ πᾶν ἐπιτρέψαι τοῖς γράμμασιν, ἀλλ' ὁλικοῖς σοι καὶ γλώττῃ καὶ στόματι ἐντυχεῖν καὶ τοῖς ῥήμασι. Ταῦτα γὰρ ὁ πνευματικὸς νόμος τῆς ἀγάπης αὔξων ἐργάζεται. Ἀπεδυσάμεθα τὸ γῆρας ὡς ὄφις, κατεφρονήσαμεν νόσων, ἀλγεινῶν, λυπηρῶν ἁπάντων, καί, δεσμά, καθάπερ ἵππος ἐπὶ φάτνῃ ἀκοστήσας, ῥήξας' κροαίνων κατὰ πεδίον ἐλήλυθα. Τί λοιπὸν πλέον ὀφείλομεν; Ἢ πάντως ἧκε, τόν τε ἡμέτερον κόπον μετρήσας καὶ τὸ διάστημα λογισάμενος, ἢ διαίτησον τὰ συμφέροντα.

κβ΄.

**Τῷ αὐτῷ.**

Ἀφειλόμην αὖθις τῶν ἔμπροσθεν καὶ τοῖς φθάσασι σταδίοις προσέθηκα, οὐχ ὡς ὁ Τελαμῶνος ὑπ' ἀσπίδια προποδίζων μὰ τὰς τῆς Μνημοσύνης κορίσκας. Οὐ γὰρ εἴα με ὁ πόθος, ἀλλὰ θᾶττον ἢ μ' ἐχρῆν προβαίνων ἱκόμην διὰ σπιδέος πεδίοιο. Οὕτω γάρ μέ πως ἡ παραπλοκὴ λαλεῖν ἀναγκάζει, κἂν οὐ ποιητικὸς ἐγώ, σοὶ δὲ τὸ λεῖπον ὡς ποιητικῷ μᾶλλον ἀφοσιούμενος. Τί δὴ λοιπὸν ὑστερεῖς; μέχρι τίνος οὐ παρέχεις σαυτὸν τοῖς ποθοῦσί σε, ἢ προσθεῖναί με καὶ τὸ λεῖπον ἐθέλεις τῆς τρίβου, ἵν' αὐτὸς ὑπάρξῃς ἀγέραστος καὶ πρὸς φιλίαν νωθρείας κατεγκαλούμενος;

κγ΄.

**Σεργίῳ.**

Ἔπαιζον ὅτε πρὸς οὓς εἰκὸς ἦν παίζειν ἐπέστελλον καὶ παρα-

κα΄. Περιλαμβάνεται ἐν φ. 159α τοῦ κώδικος Βιέννης Phil. 342
1. ἐπιστρέψαι 2. στόμασι.

κβ΄ Περιλαμβάνεται ἐν φ. 159α β τοῦ κώδικος Βιέννης Phil. 342.
11. οὐχ' 12. δι' ἀσπιδέος καθ' ἅ, ἄλλως, καὶ ἐν ἀρχαίαις τε καὶ βυλαντιακοῖς κώδιξι τοῦ Ὁμήρου ἐν Ἰλιάδ. Λ. 754 με πῶς 15. σαὐτὸν ποθοῦσι 16. ὑπάρξεις

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ... ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πλοκὰς καὶ παρισώσεις ἐποίουν καὶ κωμικῶν ἐπῶν ἐχρώμην ῥημάτια χάριν ὡς ἥδυσμά τι καὶ κάλλος τοῖς γράμμασι μηχανώμενος, ἵνα καὶ ψυχὰς καὶ τὰς ἀκοὰς τὰς τῶν δεχομένων θέλγῃ τὰ γράμματα. Ἐπεὶ δὲ νῦν πρὸς ἄνδρα τὴν ἀποστροφὴν ** κατ' ἄνδρα κρίνεσθαι τὴν εὐγένειαν. Ἀλλὰ «τίη μοι ταῦτα φίλος διελέξατο θυμὸς» καὶ οἷά τις δεινὸς ἀναίτιον ὡς αἰτιώμενος αὐτὸν δικαιῶ;

Ποῦ γὰρ ἂν ἔχοι χώραν τῷ τὴν κορωνίδα τῶν ἀρετῶν ἔμφυτον ἔχοντι μηδαμῶς οἰκοδομεῖν εἰδέναι καὶ τὴν ἐξ ἀμφοῖν κρᾶσιν μὴ ποιούμενον πρὸς ὕψος ἰέναι τοῦ θείου θελήματος; Ἀλλ' οἶμαι τοῦτ' αὐτὸ τὸ μὴ γράφειν παρὰ τῆς αὐτῆς προσγέγονεν ἀρετῆς, τῆς ὑψηλῆς, ὡς ἔοικε, ταπεινώσεως, οὐ τῆς περὶ τὸ θεῖον ἀσχολίας.

Ἀλλ' ἔστω καὶ ταύτης καιρός. Νῦν δὲ παρακάλεσον τὴν ἡμετέραν ὀλιγωρίαν, ἐπίσταξον λόγους παρακλήσεως τοῖς σοῖς γράμμασιν, ἐκφύσησον σποδὸν ἐξηθαλωμένης καρδίας, ἀπόσμηξον τῷ σπόγγῳ τῶν λόγων σου λυπρὰν σηπεδόνα. Τούτοις γὰρ ἐδόξασε τοῖς καθ' ὑμᾶς ὁ τὰς ἀρρωστίας ἐξελαύνειν ὑμῖν δεδωκώς. Τοιγαροῦν καὶ παρρησιάσθητι πρὸς αὐτόν, ἐπεὶ καὶ θεραπεύεις ἐκ παιδὸς καὶ λῦσον ταῖς σαῖς εὐπροσδέκτοις εὐχαῖς τὴν καθ' ἡμῶν ἀγανάκτησιν.

## κδ'

### Στεφάνῳ

Εὐκαίρως ἥκει σοι, τιμιώτατε, τῆς ἡμῶν ἐπιστολῆς ὁ πορθμεύς, τὸ ἔαρ ὥσπερ φερωνύμως ἐπαγόμενος, οὐ μὴν ἀλλὰ καὶ παρ' ἡμῶν ἔαρος πολὺ τιμιώτερον. Ἀλλὰ τί πρὸς ἀπαρχὴν κρεῖττον ἔαρος ἐν ὥραις καὶ ῥόδων ἐν ἄνθεσιν ἀξιοῦντα, οὗ καὶ τὴν ἀρετὴν αἰδοῦνται καὶ τύραννοι; Γράφειν τὸν κάλαμον νενικήκαμεν· ἄλλης, ὦ θυμέ, δεῖ τῆς γραφῆς, ἄλλης τῆς ἀστειότητος τῶν λόγων καὶ γλώττης, εἰ χρὴ τἀληθῆ λέγειν πεπληρωμένος τοῦ πνεύματος. Ἀλλὰ μὴ σκώψῃς παίζειν ἀκούων τοὺς γέροντας καὶ γέροντας πολλοῖς τετρυχω-

κγ'. Περιλαμβάνεται ἐν φ. 159β—160α τοῦ κώδικος Βιέννης Phil. 342

1. ἔπών

κδ' Περιλαμβάνεται ἐν φ. 159β—161α τοῦ Βιενναίου κώδικος Phil gr. 342.

14. γράμματι ἀπόσμιξον  17. λύσον

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

μένους δεινοῖς, ἐπεὶ καὶ τούτου καιρός· καὶ παίζει καὶ πολιὰ καὶ παίγνιά που σεμνότερα. Χρὴ γὰρ καὶ τούτων, ἵνα μὴ τὸ πλοῖον αὔτανδρον ἅλληται μηδ' ὡς ἐν ὀργάνῳ τὴν τάσιν πολλὴν [ἔχῃ], ἀλλὰ καὶ ἄνεσις ᾖ. Αὐτὸς τοιγαροῦν, οἷα τὰς αἰσθήσεις, ὦ μακάριε, μύσας καὶ κόσμου καὶ σαρκὸς γενόμενος ἔξω, ζῶν δὲ μόνῳ θεῷ καὶ πολιτευόμενος εἰκότως, τούτῳ καὶ προσοικεῖν ἐθέλεις. Καὶ λοιπὸν ἀσκεῖς τὴν πρὸς ἀνθρώπους σιγὴν καὶ διὰ τοῦτ' οἶμαι, γράφειν πρὸς ἡμᾶς τοὺς ἐρῶντας καὶ σοῦ καὶ τῶν σῶν ῥημάτων ὀκνεῖς, τάχα καὶ πολλὰς τὰς ἀφορμὰς κεκτημένος, τὴν παλαιὰν φιλίαν, τὴν συγγένειαν, τὸ παρακαλεῖν τοὺς ἐν θλίψεσιν. Ὑμῶν γάρ ἐστι καὶ τοῦτο καὶ τῆς ἀγγελικῆς ὑμῶν βιοτῆς. Ἡμεῖς δὲ τῷ σμήνει τῶν κακῶν συγκεχυμένοι καὶ τῆς ἀθυμίας τῷ νέφει συγκαλυπτόμενοι καὶ τῇ ἐρημίᾳ ταύτῃ δουλεύοντες ὡς ἐστερημένοι τῶν πάντων καὶ λόγου διαμαρτάνομενον καὶ διὰ τοῦτ' εἰκότως σιωπῶμεν ἄχρι καὶ νῦν. Χρυσὸς τάχα φήσουσιν οἱ φιλόχρυσοι μᾶλλον ἢ οἱ ὀφείλοντες τὰ ἐνοίκια, ἀλλ' οὐκ ἔγωγε, οἶμαι, ἀλλ' ἡ ἀγάπη, ἣν τοῖς ἡμετέροις συνεξεπέμψαμεν γράμμασιν, οὖσαν ἀεὶ ἐν ἡμῖν ἀδιάσπαστον, ἣ πανταχοῦ μὲν ἐστι, ἑνοποιεῖ τε ἐν αὐτῇ τὰ πολὺ διιστάμενα. Ἀντάμειψαι οὖν αὐτὸν μὲν οἷς αὐτὸς ἥδεται πλέον καὶ ῥόδων καὶ ἔαρος, ἡμᾶς δὲ οἷς δύνασαι παρρησιαζόμενος.

κε'.

**Ἰωάννῃ.**

Ἤκουσταί μοι, μαστιγία καὶ μελαγχολία καὶ κάθαρμα, ὅτι τὸν ὀρφανοτρόφον ἐπέσεισας ἡμῖν κωμάζων ὥσπερ τινὰ μάστιγα βαρβαρικὴν ἢ λύκον Ἀράβιον. Ἐχρῆν οὖν με μὴ καθ' ἕκαστον ἀκροβολίζειν κυνάριον μηδὲ πρὸς τὰς τῶν θώων ὑλακάς· ἀλλ' ἵνα μὴ δόξῃς ἐστηχέναι με καὶ τὰ πέταλα, γέγραφα, ὅπως τούτων μνημονεύῃς ἐν ἡμέρᾳ ἐπαγωγῆς, μάθῃς δὲ καὶ μὴ γλωσσαλγεῖν, ἀλλὰ καὶ τηκεδὼν ἔσται σοι τουτὶ τὸ γραμμάτιον καὶ σὴς τοῖς ὀστέοις σου.

1. τετρυχωμένοις πολιᾶ 7. (καὶ 14), διατοῦτ'. 18. αὐτῇ.

κε'. Περιλαμβάνεται ἐν φ. 161β τοῦ κώδικος Βιέννης Phil. 342, [ἐλλείπει ἐν τῷ καταλόγῳ].

ἐπέσεισες ὥςπέρ τινα

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κϛ'.

Κωνσταντίνῳ τῷ εὐσεβεῖ βασιλεῖ.

Οἱ παλαιοί, διηγούμενοι, φιλάγαθε βασιλεῦ, ἀναφορᾷ τε χρῶνται καὶ βεβαιώσει καὶ πιστοῦνται τὰ πράγματα, οὐ παριστῶντες ἀπὸ τῶν φύσεων ταῦτα καὶ πείθοντες αὐτοῖς ἐκείνους τοῖς πράγμασιν, ἀλλὰ κηλοῦντες μόνον καὶ θέλγοντες τοὺς ἀκούοντας. Εἰσάγουσι τε γάρ, γλυκαίνειν ἐθέλοντες τὸν λόγον, ἱστορίας καὶ μύθους καὶ τὸ πολλάκις προσομιλεῖν τοῖς ἀψύχοις, ἃ κηλοῦν μὲν οἶδε τὰς ἀκοάς, οὐ λυσιτελεῖν δὲ πρὸς σωτηρίαν ψυχῆς. Οἷά που τὰ τῆς Σαπφοῦς ἐκεῖνα ῥημάτια «Ἄγε [δὴ] χέλυ δῖά μοι λέγε, φωνάεσσα δὲ γίνεο» καὶ πάλιν τὰ περὶ Ξέρξου πρὸς τὸν Ἑλλήσποντον «Ἐνετέλλετο δέ, πέδας τιθεὶς τῇ θαλάσσῃ, ῥαπίζοντας λέγειν βάρβαρά τε καὶ ἀτάσθαλα. Ὦ πικρὸν ὕδωρ, δεσπότης τοι δίκην ἐπιτεθεῖ τήνδε, ὅτι μιν ἠδίκησας οὐδὲν πρὸς ἐκείνου ἄδικον παθόν. Καὶ βασιλεὺς μὲν Ξέρξης διαβήσεταί σε, ἤν τε βούλῃ ἤν τε μή· σοὶ δὲ ἄρα κατὰ δίκην οὐδεὶς ἀνθρώπων θύει ὡς ἐόντι θολερῷ [τε] καὶ ἁλμυρῷ ποταμῷ». Ἐγὼ δὲ τούτων μὲν οὐδενὸς λόγον ποιοῦμαι· οὐδὲ γάρ μοι λόγων ἐπίδειξις μέλει καὶ ῥημάτων δριμύτητες καὶ ἡδοναὶ καὶ παρισώσεις καὶ κόμματα, θέλγει δέ μου μᾶλλον τὸν νοῦν καὶ ἡδονὴν ἐντίθησι τῇ ψυχῇ πρῶτον μὲν θεοῦ καὶ τοῦ πλησίον ἀγάπησις, εἶτα δεσποτικὴ καὶ θεία παράκλησις, ὅταν ἀκούω ῥήματι βραχεῖ σωζόμενον λῃστὴν καὶ παραδείσου πολίτην γινόμενον, ὅταν ἁμαρτωλὸς γυνὴ λαμβάνῃ πταισμάτων ἄφεσιν καὶ παῖς μοχθηρὸς ὑπὸ πατρὸς οἰκτίρμονος καὶ τὴν ἐπιστροφὴν ἑορτάζοντος. Ἥδομαι δὲ μετὰ ταῦτα καὶ τῷ πόθῳ τῶν σῶν λόγων, ὡς ὑπὸ τῆς σῆς βασιλείας παρακαλούμενος. Ἥδομαι καὶ ἀγαπῶ, καθὼς Δαυὶδ ἔλεγε, τὸν Ἰωνάθαν ποθῶν καὶ τούτου πολλοῖς καὶ μακροῖς χρόνοις γλιχόμενος, «Νῦν ἀποστε-

κϛ' Περιλαμβάνεται ἐν φ 161β—163α τοῦ κώδικος Βιέννης Phil 342.

1. βασιλεῦ δέσποτα 8. δὴ προσέθηκα δι' ἅ μοι 12. παθὼν 13. βούλει καταδίκην 14. ἐόντι θολερῷ Ἡροδ. VII, 35 ἐόντι δολερῷ τε προσέθηκα ἐκ τοῦ Ἡροδότου 15. ποιούμενος 19. (καὶ κατωτέρω πανταχοῦ). ὅτ' ἂν.

21—22. οἰκτειρόμενος

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ροῦμαι τῆς σῆς μακρυνόμενος φιλανθρωπίας.» Αἰαῖ, φεῦ τῶν ἐμῶν ἀτυχημάτων. Ὅταν ἠλπίζομεν διαυγάσαι τὴν ἡμέτερον ἥλιον, τὰς κόρας ἀπεγλαυκώθημεν· ὅταν τοῦ λιμένος εἴσω γενέσθαι προσεδοκήσαμεν, πέτρᾳ προσραγέντες ἐναυαγήσαμεν. Πλήν, ἐπεὶ τῷ χρόνῳ καὶ τὸ κακὸν ἐν ἕξει γινόμενον κουφοτέραν τὴν λύπην ἐργάζεται, μὴ μέμψῃ, φιλάγαθε βασιλεῦ, γέροντα παῖξαι βουλόμενον. Παίζει γὰρ καὶ πολιά, τὰ δέ παίγνια παίγνια σεμνά. Ἠσπάσω τὸν δοῦλον σου, τὸ δὲ φίλημα πασχατικὸν εἶναι προσέθηκας, καὶ ζητῶ ποίου τοῦτ' ἦν Πάσχα. Εἰ μὲν γὰρ τοῦ παρελθόντος, ποθῶ καὶ τὸ σήμερον, ζητῶ δὲ καὶ τὰ πρότερα. Χαίρω γὰρ καὶ ἀγάλλομαι, προσομιλῶν σου τῇ γλυκύτητι καὶ συνεχῶς ἀσπαζόμενος. Ἀλλ' ἵνα μὴ φορτικός, περιττὰ γράφων, γενήσωμαι, εἰς εὐχὴν μετάγω τὸν λόγον, δυσωπῶν τὸν στέψαντά σε καὶ σώσαντά σε πολλῶν ἐκ κακῶν θεὸν ἀντὶ τῆς Τιμοθέου τύχης ἐκείνου τοῦ Κόνωνος αὐτόν σοι συμπαρεῖναι τὸν κύριον ἡμῶν καὶ θεὸν Ἰησοῦν Χριστόν, ἵνα καὶ σοῦ καθεύδοντος αὐτὸς ὑπερμαχῇ καὶ ὑπερασπίζηται τῆς σῆς φιλανθρώπου καὶ ἀγαθῆς βασιλείας.

Ἔρρωσο καὶ μέμνησο τοῦ γεγραφότος,
λάτρου ταπεινοῦ, δυστυχοῦς, ἀγραμμάτου.
Σοφῶς ἀνάσχου νηπίων ψελλισμάτων
ὁ πάνσοφος νοῦς καὶ σοφῶν κράντης λόγων.

κη΄.

**[Κωνσταντίνῳ τῷ Κόμβῳ].**

Ἐπεὶ καὶ πρεσβείᾳ φίλου καὶ μαρτυρίᾳ καλὸν πείθεσθαι, ὅταν μηδέτερον κατὰ πάθος γινόμενον ᾖ, ἀλλ' ἐκ συνειδήσεως ἀγαθῆς καὶ φοβουμένης τὸν Κύριον, ἡκέτω ἡμῖν ὁ μαρτυρούμενος μοναχός, τῆς ἐπιζητουμένης αὐτῷ διακονίας τευξόμενος, εὐδοκοῦντος θεοῦ.

Σοὶ δὲ ἔστω φροντὶς τοῦ μὴ σφαλῆναι ποιῆσαι τὸν ἐπερεισθέντα τῇ μαρτυρίᾳ σου.

1. αἰαὶ 2. ἠλπίζωμεν διαυγᾶσαι

κη΄. Περιλαμβάνεται ἐν φ. 201β τοῦ Ὀξωνιακοῦ κώδικος Misc 24. Ἐπιγραφή: Τῷ αὐτῷ. Ἀλλὰ προηγεῖται ἡ ἐπιστολὴ Ἀσηκρῆτις τῷ Κόμπῳ, ἡ ἀνωτέρω ὑπ' ἀρ. ιδ΄

22. επει Α μήδ' ἕτερον 26. ἐμπερεισθέντα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κθ'.

**Τῷ αὐτῷ**

Πάντες μὲν ἔχαιρον τὴν ἀνάστασιν ἑορτάζοντες, καὶ τὴν τοῦ ἔαρος ὁρῶντες ἐπιλάμπουσαν ἤδη ὥραν ἐνηδύνοντο· χαίρουσι γάρ που τούτοις ἀεί πανηγυρίζοντες ἄνθρωποι. Ἐμοὶ δὲ τούτων μὲν διὰ φροντίδος οὐδὲν ἦν, εὐφραινόμην δὲ μόνῃ κατεντυγχάνων τῇ πολυεύκτῳ ἐπιστολῇ, συγγνώμην καὶ ἀμνηστείαν εὐαγγελιζομένη μοι παραλόγου καὶ δαιμονίου πταίσματος. Παντοδαπὸς οὖν ἐγεγόνειν ἀπὸ τῆς χαρᾶς, ἐπῄνουν, ἐζήλουν, ἐμακάριζον. Ἐπῄνουν τὸ κάλλος τοῦ λόγου, ἐζήλουν τὴν φύσιν, ἐμακάριζον τοὺς τεκόντας. Αὐτὸν γὰρ ἐδόκουν ὁρᾶν τὸν Ἑρμῆν ἐν τοῖς γράμμασιν περιχορεύοντα καὶ σοβαρευόμενον. Ὅμως ἠπίστουν κρατῶν καὶ ὅτι μὴ ἐνύπνιον βλέπειν δοκῶ ηὐχόμην. Ἀλλά, δέσποτα καὶ σῶτερ καὶ ἀντιλῆπτορ καὶ βοηθέ· πάντα γὰρ εἶ μοι σύ· εὐγνωμονήσειας καὶ μὴ ἐλλείποις γράφων ἀεὶ καὶ ἐπάρδων κατεψυγμένην καὶ καταυχμῶσαν γλῶσσαν ἀμαθίᾳ καὶ ἀγροικίᾳ καὶ ἰδιωτισμῷ. Ὁ δὲ Κύριος δώῃ σοι μετ' εὐζωίας μακρότητα ἡμερῶν τά τε ἄλλα καὶ ὅτι οὐκ ἀπαξιοῖς τοῦ μηδενὸς ἄξιον ἄνθρωπον λόγου καὶ προσρήσεως ἀξιοῦν.

λ'.

**Τῷ αὐτῷ.**

Καὶ πάλιν ἐγώ σοι Λάκων ὁ λάλος· ἡ γὰρ τῶν λόγων ῥώμη τοῦ ἐπιφερομένου τὰ γράμματα τὴν τῶν ἡμετέρων λόγων περιαιρεῖ πως πληθύν. Παρὸν οὖν ἀπὸ γλώττης ἀντλεῖν, οὐ καλὸν ἀπὸ τῆς νεκρᾶς τῶν γραμμάτων πηγῆς ἀρύεσθαι, καὶ μάλιστα τοῦ ἀνδρὸς οἵου τε ὄντος μὴ τὰ καθ' ἡμᾶς μόνον, ἀλλὰ καὶ τὰ κοινὰ διαγγεῖλαι κοινῶς.

κθ'. Περιλαμβάνεται ἐν φ. 201β—202α τοῦ Ὀξωνιακοῦ κώδικος Misc 242 3. πω 5. ἀπιστείαν 7. ἀπὸ. Γραπτέον ὑπό; 9. ἐδόκουν ὁρᾶν ἑρμῆν ἐκ τοῦ ἑρμὴν περιχορέβοντα σοβαρεβόμενον 14. γλώσσαν 16. μηδενὸς ἐκ τοῦ μήδενός

λ'. Περιλαμβάνεται ἐν φ. 202α τοῦ Ὀξωνιακοῦ κώδικος Misc. 242.

20. οἴου

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λα΄.

**Τῷ αὐτῷ**

Εἰ πλέον ἔχει γλώττης γραφῆς, πῶς διὰ γραφῆς τὰ καθ' ἡμᾶς παραστήσω σοι, ἃ μηδὲ γλώττῃ λέγειν τῶν εὐχερῶν; Ἔστι δὲ ὅμως ἐπὶ τῶν τοιούτων τὸ ἧττον εἰς δυσχέρειαν αἱρετώτερον. Τῇ τοῦ καλοῦ τοίνυν καί τιμιωτάτου Νικολάου γλώττῃ τὴν τῶν ἡμετέρων ἀναθέμενοι δήλωσιν, ἅμα τε ταῦτα διὰ τῆς ἐκείνου ἀναδιδιδάσκομεν, κἀντεῦθεν τὸν ἄνδρα βουλόμενοι καταστῆσαί σοι γνώριμον, ὅπως καὶ αὐτὸς ἐξ αὐτῶν τῶν ἔργων γνῷς οἵου· ἀγαθοῦ ἐστέρητο μέχρι τοῦ νῦν ὁ περιπόθητός μοι δεσπότης.

λβ΄.

**Τῷ αὐτῷ.**

Καὶ τίς οὕτως ἀσυμπαθὴς καὶ ἄφιλος, τίς τοσοῦτον ἄστοργος παντελῶς καὶ ἠλίθιος, ὥς κατολιγωρῆσαι νόμων ἀδελφικῶν, ὑπεριδεῖν δὲ φιλίας, ἣν ταὐτότης τρόπων σὺν ἀσφαλείᾳ ἡρμόσατο; Ἢ σὺ δοκεῖς τῇ διαστάσει τοῦ σώματος συνδιαιρεῖσθαι καὶ τὴν διάθεσιν καὶ οὐχὶ μᾶλλον ἡνῶσθαι, τοῦ χωρισμοῦ τὰς φλόγας τῆς ἐπιθυμίας ἀνάπτοντος, ὥςπερ τὰς ὀρέξεις τῶν ὀρεγομένων οἶδε διερεθίζειν ἀποτυχία καὶ στέρησις, ὡς ἐγὼ νῦν μᾶλλον τοῦ ἀδελφοῦ περιέχομαι καὶ πλέον ἢ συνόντος καὶ σωματικῶς ἐντυγχάνοντος, καὶ οὐ τοσοῦτον τῷ φαινομένῳ δίσταμαι ὅσον τῷ νοουμένῳ συνήνωμαι, ἀπ' ἐναντίας ὁρμώσης τῆς ἐπιθυμίας τῷ σώματι κατὰ τὴν τῶν οὐρανίων ἀναλογίαν καὶ μίμησιν, ὡς πρὸς τὴν φορὰν ἀντιβαινόντων τοῦ περιέχοντος εἰς ἐναντίαν συμβαίνει τοῖς ἀνθελκυσμοῖς ἀντιστρέφεσθαι. Οὕτω καὶ αὐτὸς τὴν ἐπὶ σέ μᾶλλον τῇ γνώμῃ τρέχων διατελῶ, καί, εἰ ἀφί-

λα΄ Περιλαμβάνεται ἐν φ. 202α-β τοῦ 'Οξωνιακοῦ κώδικος Misc. 242.

1. Τί πλέον 2. μὴδὲ 3. (καὶ ἀλλαχοῦ πολλαχοῦ). τὲ 6. κἂν τεῦθεν καταστῆσαι.

λβ΄. Περιλαμβάνεται ἐν φ. 202β—203β τοῦ 'Οξωνιακοῦ κώδικος Misc. 242.

11. ταυτότης. 16. συνόντες ἐντυγχάνοντες 17. ἀπεναντίας. 20. ἀνθελκισμοῖς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

στασαι, δοκῶ ** τοῖς μὴ πρὸς τὴν ἔφεσιν βλέπουσιν· οὔτε γὰρ σκιὰν διαστῆναι τοῦ οἰκείου σώματος δυνατόν, οὔτε ἡμᾶς ὅλως τῆς περὶ σὲ καὶ μνήμης καὶ διαθέσεως. Καὶ τί δεῖ ταῦτα λέγειν ὡς πρὸς ἄπιστον ἀδελφὸν καὶ τῶν ἀλύτων τῆς φιλαδελφίας δεσμῶν ἀπείραστον; Ἀλλὰ τῶν ἑξῆς τί σοι βούλῃ πρῶτον καὶ διηγήσομαι, τὰ παρόντα δεινὰ ἢ τὰ προσδοκώμενα χαλεπά, τοὺς ἐπικειμένους φόβους ἢ τοὺς ἐλπιζομένους κινδύνους; Πάντοθεν γὰρ καὶ διὰ πάντων τὰ μὲν ἐπιφέρεται τῶν κακῶν, τὰ δ' ὑποπτεύεται. Τὸ δὲ τούτων ἐμοὶ χαλεπώτερον ἡ τῆς ἐμῆς παρηγορίας σοῦ, φημι, τοῦ δεσπότου στέρησις μεθ' οὗ καὶ τὸ λυποῦν ἅπαν κοῦφον καὶ τὸ ἡδὺ καὶ τερπνὸν σοῦ μὴ παρόντος ἀνιαρὸν καταφαίνεται. Τί γὰρ ὁ βίος τῷ Ἀχιλλεῖ Πατρόκλου χωρίς, τί δὲ τῷ Πυλάδῃ Ὀρέστου, τί μὲν Πολυδεύκους τῷ Κάστορι, τί δὲ τῷ Ἁρμοδίῳ Ἀριστογείτονος ἢ τοῖς ἄλλοις ὁπόσοι τὸ ἀδελφοὶ καλεῖσθαι καὶ διατελεῖν ἡρετίσαντο. Διὰ ταῦτα κατηφὴς ἐγὼ καὶ τοῖς παροῦσιν ἀχθόμενος καὶ ὡς ἐν αἰχμαλωσίᾳ βαρβαρικῇ διακείμενος, μηδενὸς ὄντος τοῦ τοῖς ἡμετέροις συμβαίνοντος ἤθεσιν. Ὁ γὰρ τὸ λόγιον τιμῶν κατὰ τὸν Ἰωάννην οὐδείς· βάρβαρα δὲ ἤθη καὶ λόγοι καὶ γνῶμαι κατὰ μηδὲν ἡμῖν συμφερόμεναι, ὁ δὲ τοῦ συνετοῦ μνημονεύσας παρὰ τὸ μὴ συνιέναι δόξαι καὶ γέλωτα ὤφλησε. Τιμᾶται δὲ κατ' ἄκρας Ἑρμῆς οὐχ ὁ λόγιος, καὶ περὶ τὴν κλεπτικὴν ὁρῶνται πάντες ἐξησκημένοι τὰ μάλιστα πολὺ τῇ τέχνῃ καὶ τὸν Λυδὸν παρελαύνοντες· οὓς καὶ τῆς εὐφυίας ἐγὼ θαυμάζω καὶ ὑπεράγαμαι, ὡς καὶ ἡδέως ἄγειν τὴν τῶν προσιόντων ἀφαίρεσιν, οἷς εἰ Κράτης ἐκεῖνος ξυνδιεγένετο, εὗρεν ἂν τῆς ἐλευθερίας ἀμύμονας συνεργοὺς φθάνοντας τὴν τῆς πλατείας τῶν χρημάτων ὑπόθεσιν καὶ τῆς ἐπὶ τῇ ἐκφθορᾷ ταλαιπωρίας τὸν φιλόσοφον ἀπαλλάτοντας. Ταῦτά με παρὰ τὸ ἀνιᾶν καὶ τέρπει μᾶλλον καὶ ἐλευθέριον τίθησιν, ἀνιᾷ δὲ καὶ πλεῖστα ἡ ἐπὶ πλέον προσδοκωμένη τῆς δεσποτικῆς ὄψεως στέρησις καὶ ἡ ἐν τῇ τοῦ Πέλοπος ὑπερορίᾳ, ἵν' οὕτως εἴπω, κατάκρισις, τὸ τῆς ἀμαθίας ἡμῶν ἐπιτίμιον, εἰ καὶ περιαι-

1. ἔφεσι. Γραπτέον Ἔφεσον; ἐν τῇ ᾤᾳ ἐνταῦθά τε καὶ ἀλλαχοῦ Cῆ 4. ἀδελφὸν 5. βούλει 8. ὑποπτέβεται 11. ἀχιλεῖ 13. τὸ πόσοι 14. ἡρετήσαντο Ἐν τῇ ᾤᾳ Cη καλῶς 20. καὶ κατ' 21. λεπτικὴν 23. ὑπεράγομαι ἐκ τοῦ ὑπεράγωμαι 25. ἀμείμονας 27. ταῦτα ἀνιᾶν 28. ἐπιπλέον 29. ὑπερορ ίας

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ρεῖ πως τὴν λύπην ἡ οὐκ εἰς μακρὰν ἐλπιζομένη ἐπάνοδος καὶ ἡ τοῦ φαινομένου μετὰ τῆς ἐπιθυμίας συνδρομή τε καὶ σύνεσις καὶ τῶν διεστώτων μερῶν ἢ μελῶν ἡ ἐπέλευσις. Γένοιτο δὲ καὶ διὰ ταχέων ἐπανελθεῖν καὶ τοῦ ποθεινοῦ καὶ ἡδίστου καὶ θεάματος ἐπιτυχεῖν καὶ ἀκούσματος.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## λγʹ

### Πρὸς βασιλέα

Ἔστι μὲν καὶ ἄλλα πολλά, φιλάγαθε βασιλεῦ, ἃ θεοῦ εὐδοκίᾳ ἐλπίζομεν καὶ ἀκοῦσαι καὶ θεάσασθαι καὶ εὐφραίνοντα τὴν ταπείνωσιν ἡμῶν καὶ ὅλου τοῦ χριστεπωνύμου λαοῦ καὶ εὐτυχίας καὶ ἀνδραγαθίας καὶ νίκας καὶ τρόπαια, ἀλλὰ τὴν πάντων μεγίστην εὐφροσύνην καὶ θυμηδίαν ἀκούσαντες καὶ πληροφορηθέντες περὶ τῆς εὐρωστίας καὶ ὑγιείας τοῦ κράτους σου, θεοτίμητε βασιλεῦ, τέως οὐδὲν ἕτερον ἐπιζητοῦμεν· ἀρκεῖ γὰρ ἡμῖν τοῦτο ὑπὲρ πᾶσαν ἄλλην εὐπραγίαν καὶ εὐτυχίαν. Καὶ ἔδει μὲν ἡμᾶς, εἴπερ οἷον τε ἦν, συμμεριστὰς γίνεθαι τῶν πόνων καὶ τῶν καμάτων σου καὶ συνδιαφέρειν τὰς θλίψεις καὶ τὰς μερίμνας, ἃς καθ' ἑκάστην ὡς γενναῖος καὶ ἀγχίνους καὶ ἀσύγκριτος βασιλεὺς ὑπομένεις, ἀλλὰ τὸ γῆρας καὶ ἡ ἀσθένεια καὶ ἡ τῆς ἱερωσύνης διακονία οὐ συγχωρεῖ τοῦτο πρὸς τὸ παρόν, καὶ συγγίνωσκε καὶ συγχώρει, τὴν προθυμίαν καὶ τὴν προαίρεσιν ἀντὶ πάντων δεχόμενος. Οὐκ ἀγνοεῖ δέ, ὡς οἶμαι, ἡ συμπαθεστάτη ψυχή σου τὴν πίστιν καὶ τὴν ἀγάπην καὶ τὴν ἐξ ὅλης καρδίας διάθεσιν τῆς ἡμῶν μετριότητος καὶ ὅπως μεριμνῶμεν καὶ περικαιόμεθα ὑπὲρ τῆς ἁγίας βασιλείας σου, ὡς ἀνταξίους ποιήσῃ ἡμᾶς ὁ φιλάνθρωπος Κύριος καὶ ἰδεῖν καὶ περιπτύξασθαί σε ἐν φιλήματι ἁγίῳ. Τὸ δὲ νῦν ἔχον, φιλανθρωπότατε, διὰ τῶν ἀναξίων καὶ ἀπαρρησιάστων ἡμῶν εὐχῶν καὶ τοῦ παντὸς πληρώματος καὶ τῶν Χριστιανῶν [παρέχοντες] καὶ τὰ δάκρυα ἐνεργούμενα καὶ βοηθούμενα παρὰ τῆς σῆς σπουδῆς καὶ εὐλαβείας καὶ τῆς τῶν θείων ἐντολῶν φυλακῆς παρακαλοῦμεν καὶ δεόμεθα καὶ τῆς ἁγίας καρδίας σου διὰ τῶν πε-

Περιλαμβάνεται ἐν φ. 203β—204β τοῦ Ὀξωνιακοῦ κώδικος Misc. 242.

4. ἡδύστου 11. ὑγείας κράτου 17. ἱεροσύνης. 20. ὅλης 22. ἀναξίους 25. ἀπαρισιάστων

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

νιχρῶν τούτων καὶ ὀλίγων ρημάτων ἐφαπτόμεθα, ἵνα μὴ ἐξ ἀμελείας καὶ τῆς ῥαθυμίας καὶ τῶν καλῶν ἀπραξίας παρεμποδίσῃς τὰς τῶν Χριστιανῶν εὐχάς, μάλιστα τὰς δι' ἀρετὴν καὶ τὴν πρὸς Θεὸν οἰκείωσιν παρρησίαν ἐχούσας, εἰς τὰ ὦτα Κυρίου ἀνέρχεσθαι καὶ κρούειν εἰς τὴν θύραν αὐτοῦ καὶ εἰσακούεσθαι. Ναί, ναί, φιλανθρωπότατε βασιλεῦ, σπούδασον καὶ ποίησον διὰ τῆς τῶν ἐντολῶν φυλακῆς καὶ τῆς τῶν κακῶν ἀποχῆς μὴ εἰς κενὸν γενέσθαι, μηδὲ τοῦτο νῦν τὸ προφητικὸν πληρωθῆναι, τὸ Ἡ προσευχή μου εἰς τὸν κόλπον μου. Ἀλλὰ φάνηθι, βασιλεῦ, βιαστὴς τῆς φύσεως, φάνηθι, τοῦ καιροῦ τῶν ἀγώνων εἰς τοῦτο προτρεπομένου σε. Εἰ γὰρ τοῖς νήφουσι καὶ μὴ παρολισθαίνουσιν ἔν τινι οἶδε συνεφάπτεσθαι τῶν πόνων θεὸς καὶ σοὶ δηλαδὴ συνεφάπτεσθαι, καὶ τροπωσάμενος βάρβαρα ἔθνη ὑψωθήσῃ. Ἐπανίῃς, ἐπανίῃς ἡμῖν τροπαιοφορῶν καὶ μέγιστον ποιούμενος θρίαμβον ὡς ἄλλος Μάρκος Αἰμίλιος. Τοῦτό σοι εἰσήγησις πατρική, ἣν ἐντελῆ ποιησάμενος εὐφράναις πάντας Χριστιανούς, οὓς ἐκκαίει νῦν ἡ ἀγάπη σου διὰ τὴν τῆς ἐν σοὶ εὐσεβείας παρουσίαν

λδ'.

**Τῷ Μιχαήλ.**

Ἐκαρτέρουν ὂν ἔγωγε . . . . .

λε'.

**Τῷ αὐτῷ**

Εἰ μὴ καὶ πρὸς τὴν μεγάλην σου γράφειν ἐμέλλομεν σύνεσιν, τάχα ἂν ἐδεήθημεν ἀπὸ πλειόνων λόγων καὶ πειθοῦς αὐτῆς συμπραττούσης, ὥστε λαβεῖν τὸ ζητούμενον. Ἐπεὶ δὲ ὁ γράφων μὲν

1. ῥημάτων ἐφαπνώμεθα 2. ἀπραξείας 6. πόνεσον 7. μὴδὲ 9. φάνϊθι τοῦ 14. αἰμίλιος 15. ἐντελὴ.

Περιλαμβάνεται ἐν φ. 204β—205β τοῦ Ὀξωνιακοῦ κώδικος Misc. 242 (A) καὶ τοῦ κώδικος Βιέννης Phil. 342 φ. . . (B).

Ἐπιγραφή: Τῷ Μιχαὴλ A: . . . . . . B ἐν ταῖς ἐπιστολαῖς τοῦ Βάρδα.

Περιλαμβάνεται ἐν φ. 205β—206α τοῦ Ὀξωνιακοῦ κώδικος Misc. 242.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐγώ, ὁ δὲ πρὸς ὃν ἡ αἴτησις σύ, ὃς σώματι καὶ μόνῳ διῄρησαι, ψυχὴν δὲ τὴν αὐτήν μοι ἔχειν πεπίστευσαι, οὐκ οἶμαι δεῖν μηκύνειν, ἀλλ' ἁπλῶς σημαίνειν ὃ βούλομαι. Γράφω τοίνυν οὐ πρὸς σὲ μόνον τὸν ὡς ἐγώ, ἀλλὰ καὶ ὑπὲρ ἐμοῦ. Τὸ μὲν γὰρ ὑπὲρ Ἰωάννου τοῦ πάνυ γράφειν καὶ τῶν κατ' αὐτὸν πραγμάτων ταὐτόν ἐστι τῷ γράφειν ὑπὲρ ἐμοῦ. Οὐκοῦν, ἀνθρώπων ἁπάντων φίλτατε, ἔσο τῶν ἀνηκόντων τῷ ἀγαθῷ ἐκείνῳ ἀνδρὶ κἀμοὶ διαφερόντως ἀγαπωμένῳ ὡς σῶν τε καὶ ἐμῶν προνοούμενοι ἐν οἷς ἂν Θεόδωρος ὁ εὐλαβὴς ἀνεψιὸς αὐτοῦ δεηθῇ, παρέχων (μὲν) αὐτῷ τὴν ἐκ τοῦ νόμου βοήθειαν. Λείψεται γὰρ οὐδενὸς ὅτι μὴ τῶν δικαίων, ταῦτα δὲ καὶ τῆς ἡμετέρας ἄνευ συνηγορίας διδόναι σὺ θερμός τε καὶ προθυμότατος. Καὶ οὐ πρὸς τὰ τῆς δικαιοσύνης ἔργα προτρέψασθαι τὴν μεγαλόνοιάν σου βουλόμενος ταῦτα διδακτικῶς ὑποτίθημι, ἀλλ' ὥστε σοι τὸ φίλτρον μόνον ἐνδείξασθαι ὅσον πρὸς τὸν ἄνθρωπον τοῦ Θεοῦ ἐκεῖνον ἔχειν ὁμολογῶ, ταῦτά σοι πεποιθότως ἐσήμανα καὶ ἵνα εἰδέναι ἔχῃς ὡς ἐμοὶ χαρίζῃ ἐκείνῳ συνεισφέρων τὸ κατὰ δύναμιν, ἐπεὶ οὐδὲν παρὰ τὸ δικαιοπραγεῖν οἶδας ἕτερον. Συμφήσαι ἂν ἑτοίμως κἂν ᾖ τις τῶν καλῶν ἀνέραστος καὶ φιλόνεικος. Μὴ μέλλε τοίνυν, ἀλλὰ καὶ νῦν χαρίζου μοι τὸ ζητούμενον, καὶ μεμνημένος μου τῆς μικρότητος ἔρρωσο καὶ εὐθύμει καὶ εὐοδοῦ τὰ πρὸς Κύριον.

## λϛ'.

### Τῷ αὐτῷ

Ἄλλος μὲν καὶ προσηγανάκτησεν ἂν ἐπὶ τῷ συνεχεῖ τῶν ἐπιστολῶν ἐπὶ δὲ σοῦ, ποθούμενε ἀδελφέ, καὶ τοῦτο τὸ δέος ἄπεστι. Φιλεῖς μὲν γὰρ ὡς οὐκ' οἶδ εἴ τις ἕτερος, τὰς ὑπομνήσεις δὲ οὐ μόνον ὅτι παρ' ἡμῶν τῶν ἄκρως ἀγαπωμένων, ἀλλ' ὅτι σοι καὶ ὕλην παρέχουσιν εἰς δικαιοσύνην ἀπόδειξιν εὐλόγως καὶ προσδέχῃ καὶ ἀγκαλίζῃ. Τοίνυν καὶ τὸν γραμματηφόρον δέξαι, βίαν ὑποστάντα παρά-

5. γράφειν ἐκ τοῦ γράφην (;) αὐτὸν ἐκ τοῦ αὐτῶν ταυτὸν τὸ
15. ἔχῃς ἐκ τοῦ ἔχεις καταδύναμιν.
λϛ'. Περιλαμβάνεται ἐν φ. 206α τοῦ Ὀξωνιακοῦ κώδικος Misc. 242.
21. Ἄλλος 23. εἶδ' ἐκ τοῦ οἶδ' μονον 24. ἄκρων

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Π. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λογον καὶ τομωτάτης ἐκ καρδίας δεόμενον. Ἀρκέσει δὲ αὐτῷ εἰς ἐκπλήρωσιν τῆς ἐφέσεως ἡ πρὸς τὴν σὴν ἀγχίνοιαν ἔντευξις, ἣν χάρισαι αὐτῷ, ποθεινότατε, τὴν θείαν σεαυτῷ εὐγένειαν μνηστευόμενος, ἧς οὐκ ἀμοιρήσεις, ᾄδων τῷ Κυρίῳ ἔλεον καὶ κρίσιν διὰ τῶν ἔργων σου. Ἔρρωσο καὶ εὐθύμει, ἄριστε δικαστῶν καὶ ἀδελφὲ προφιλέστατε, τῆς ἡμετέρας μεμνημένος βραχύτητος.

## λζ΄.

### Τῷ αὐτῷ

Τίς ἡ βαθεῖα αὕτη σιγή, ποθούμενε ἀδελφέ; Οὐ γὰρ σὲ ἀφήσω μέμψεως, ἀλλ' ἐν ἀγάπῃ παρρησιάσομαι. Σὺ μὲν ἐρεῖς ὅτι πραγμάτων ὄχλος διεκώλυσέ σου τὴν προσαγόρευσιν· ἐγὼ δὲ οὐχ' οὕτως ἀσχολεῖσθαί σου τὴν ἀγχίνοιαν πιστεύσαιμι ἄν, ὡς μηδὲ ἅπαξ συγχωρηθῆναι προσφθέγξασθαι τὸν οὕτω πιστεύοντα στέργεσθαι. Ὁρᾷς ὡς πικρῶς δικάζω καὶ ἀσυγγνώστως; Ἀλλ' ἵλεών σοι ἔσται τὸ δικαστήριον, εἴ μεταβαλὼν ἀπὸ τῆς σιγῆς τὴν γλυκερὰν ἀναλάβοις χέλυν καὶ φθέγξῃ μουσικόν τι καὶ ἐναρμόνιον· πάντως δὲ ἥδιον φωνήσεις ἐμοὶ προσᾴδων τὸ φίλιον ἢ Σειρῆνες τοῖς πλέουσι. Τὸ μὲν οὖν ἔγκλημα οὕτω λύσεις· ὅπως δὲ καὶ αἰδεῖσθαι μᾶλλον ἀντὶ τοῦ αἰτιᾶσθαι πείσεις, ἐγὼ διδάξω. Ὁ τιμιώτατος καὶ τὰ πάντα ἐμοὶ σεβάσμιος τῆς σεβασμίας μονῆς τῶν Ἡλίου βωμῶν καθηγούμενος οὐ νῦν ἡμῖν [πρῶτον] προσῳκείωται, οὐδ' ἐκ παρόδου μόνον ἐγνώρισται, ἀλλὰ καὶ πάλαι καὶ πρὸς ἄκρον, ὃ δή φασι λόγοι ποιητικοί, μυελὸν ψυχῆς στέργεται παρὰ τῆς ἡμῶν βραχύτητος. Τοῦτον, ἵνα μὴ μακρολογῶ, δεξάμενος ὡς ἐμέ, ἁπάσης μὲν αἰτιάσεως ἀφεθήσῃ, ἀπολογίᾳ δὲ τοὐναντίον ὑπεύθυνον καταστήσεις τὸν νῦν τὴν ἀφωνίαν ἐπεγκαλοῦντά σοι. Παρακαλῶ οὖν, ἄριστε ἀδελφῶν καὶ διαφερόντως φιλούμενε, οὕτω πρὸς τὸν ῥηθέντα τοῦ θεοῦ ἄνθρωπον διατέθητι,

3. μνηστεβόμενος.

λζ' Περιλαμβάνεται ἐν φ. 206α—207α τοῦ Ὀξωνιακοῦ κώδικος Misc. 242.

7. βαθεία 10. οὐχ' ἀσχολεῖσθαι μὴδὲ 11. πιστέβοντι 13. μεταβαλλὼν ἐκ τοῦ μεταβάλλων 15. σηρῆνες ἐκ τοῦ σηρεῖνες. 19. πρῶτον προσέθηκα 20. δὴ φασὶ 23. νοῦν 24. ἐπιγκαλοῦντα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὡς ἂν εἰ καὶ πρὸς τὸν ἐμόν τε καὶ σὸν θεῖον· κοινὸς γὰρ ἀμφοτέρων, ἐπείπερ εἷς ἡμεῖς ἐν Χριστῷ, ἐβουλήθης διατεθῆναι. Καὶ τῷ μὲν θεοφιλεῖ καὶ ὁσιωτάτῳ καθηγουμένῳ γενοῦ καθάπερ ἡ αἴτησις, ἐμοὶ δὲ καὶ γράφων τὰ κατὰ σὲ τὰ μέγιστα χαρίσῃ καὶ τελεώτατα, καὶ ἐπὶ πᾶσι σώζου καὶ μέγα χαῖρε καὶ γίνου προβαίνων μέγας καὶ ταῖς καθ' ἡμέραν αὐξήσεσι πρὸς αὐτὴν ἀνάγου τὴν τῶν ἀρετῶν τελειότητα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΤΤΑΣ ΓΙΩΣ

## λη'.

### Τοῦ αὐτοῦ Νικήτα τοῦ μαγίστρου τῷ αὐτῷ Μιχαήλ.

Ἔδει μὲν γλώσσῃ οἰκείᾳ καὶ χείλεσιν αὐτοῖς καὶ ζώσῃ φωνῇ προσομιλῆσαί σοι, ἀνδρῶν ἁπάντων ἄριστε καὶ αἰδεσιμώτατε, ἀλλ' ἐπεὶ τοῦτο τέως ἀδύνατον τὸ κατ' ἐμὲ καὶ πάσης ἀνωτέρω παρακλήσεως· τέθνηκε γὰρ ἀνὴρ καὶ κεχώρισται ἀπ' ἐμοῦ οὗπερ ζῆν οὐκ ἂν δυναίμην χωρίς, ὃς ἔπνεέ με καὶ ἐκοίνου πάντα τὰ κατ' ἐκεῖνον ἐμοί, ἔζων δὲ ἐν αὐτῷ καὶ μόνῳ ἐγώ· διὰ τοῦτό μοι καὶ βίος ἀβίωτος καὶ αὐτὸ τὸ ζῆν τὸ πᾶσιν ἥδιστον μισητὸν καὶ φίλα μοι τὰ ἐν Ἅδου μόνα καὶ ποθεινὰ μετ' ἐκεῖνον. Οἶσθα δήπου πάντως, ὅτι τῶν φιλουμένων ἐμοὶ πάντων ποθεινότερος σύ. Εἰ οὖν καὶ αὐτὸς ὁμοίως ποθεῖς καὶ σοι μέλει περὶ ἐμοῦ καὶ τοῦ ἔτι με τοῖς ζῶσι συνεῖναι, θᾶττον ἤδη ἐπάνηκε. Παρηγορήσεις γὰρ καὶ ψυχαγωγήσεις ἐπιφανείς καὶ κἂν ἐπ' ὀλίγον τῆς ἀθυμίας ἐπικουφίσεις· τέλεον δὲ οὐκ ἄλλος τις ἢ αὐτὸς ἐκεῖνος πάλιν ἀναβιοὺς κἀμοὶ χαρισθεὶς ὡς Ἄλκηστις Ἡρακλεῖ· ὃ κἀκεῖνο μῦθος καὶ τοῦτο γενέσθαι ἀδύνατον.

1. ὡσὰν 6. καθημέραν.

λη'. Περιλαμβάνεται ἐν φ. 207α τοῦ Ὀξωνιακοῦ κώδικος Misc. 242.

8. δει μὴ γραφέντος τοῦ Ἔ ὑπὸ τοῦ ἐρυθρογράφου 9. προςομϊλῆσαι ἐκ τοῦ προσομυλῆσαι αιδεσιμώτατε 10. τὰ ἀνωτέρα 11. κεχώρϊστε 13. τοῦτο 14. ἥδυστον μυσητὸν 16. ποθηνότερος 17. μέλλει 18. ἐπιφανεὶς ἐκ τοῦ ἐπιφανεῖς ἐπικουφίσης ἐκ τοῦ ἐπικουφήσης 20. τίς 21. ἀδύνατος



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λθ´

Τῷ αὐτῷ

Ἐπέστυψας διὰ τὴν σιγὴν καὶ δέδωκας θαρρεῖν, ὡς οὐ πέπαυσαι τοῦ φιλεῖν, ὑπερφυέστατε. Τοῦ σφόδρα γὰρ φιλοῦντος σημεῖον τὸ παθαίνεσθαι παρορώμενον καὶ ὀνειδίζειν τὸν ἀμελοῦντα καὶ ἀφιλίᾳ ἐπεγκαλεῖν. Ἐγὼ δὲ οὕτως ἔχων ὡς εἶχον καὶ τῶν τῆς ἀγάπης ἐπιλήξεων μὴ ἐκστὰς μηδὲ τῆς παλαιᾶς συνηθείας ἐκείνης, ἣν τάχα καὶ αὐτὸς μαρτυρήσειας, εἶχον τὴν σιωπὴν οὐκ ἀμελείᾳ τῶν φιλικῶν, ἀλλ' αἰδοῖ καὶ φόβῳ τῆς ἀρετῆς καὶ ἐπιλογισμῷ τοῦ περὶ ἐμὲ ἀφανοῦς. Ἐδεδίειν γάρ, κακῶς μέν, ἐδεδίειν δ' οὖν, μή ποτε θρασύτητα ἐγκληθῶ γράφων πρὸς τῷ χρόνῳ καὶ θρόνῳ καὶ τρόπῳ ὅλῃ συγκρίσει μου ὑπερέχοντα, καὶ ῥηθῇ ἐπ' ἐμοί. «Τὴν κατὰ σαυτὸν ἔλα» καὶ «Μὴ τῶν σῶν πτερῶν ὑπερίπτασο». Ἀλλ' ἐπειδὴ διὰ τῆς σεβαστῆς σου γραφῆς ἐδόθη μοι τὸ ἐνδόσιμον, ἴσως αἰτιάσῃ, ὥσπερ νῦν τὸ σιγᾶν, οὕτως αὖθις καὶ τὸ μὴ σιγᾶν.

μ´.

Τῷ αὐτῷ

Κατάγομος οὖσα τῶν τῆς ἀγάπης καλῶν ἡ ἱερά σου ψυχὴ οὐ τῶν ἐν ὕψει μόνον διαφανῶν φίλων, ἀλλὰ καὶ τῶν ἐν ἀφανείᾳ κειμένων καὶ χθαμαλότητι καὶ μέμνηται ἀεὶ καὶ συλλαβῶν ἀξιοῖ καὶ προσρήσεων. Καὶ τοῦτο δῆλον ἀφ' ὧν ἔχεις διὰ μνήμης ἐμέ, ἄνθρωπον, ᾧ καὶ ὁ βίος καὶ ὁ τρόπος καὶ ὁ λόγος τὸν ἔσχατον βαθμὸν ἀπεκλήρωσε, τοσοῦτον ἀφανείᾳ καὶ ἀφελείᾳ κρυπτόμενον, ὡς μόλις καὶ τοῖς καθ' οἶκον γινώσκεσθαι διὰ τὴν σμικρότητα, κἂν τὸ σὸν ὀξυδερκὲς τῆς ἀγάπης οὐκ' ἔλαθον. Οὐ γὰρ τοσοῦτον ἧς φίλος ὅσον αὐτός ὁρᾷς, οὐδὲ τοῖς ὀφθαλμοῖς ἄκροις ἐπικάθηταί. σου τὸ φίλτρον, ἵν'

λθ' Περιλαμβάνεται ἐν φ. 207β τοῦ Ὀξωνιακοῦ κώδικος Misc. 242.

\ 1. δέδοκας ἀῤῥεῖν 2. ὑπερφϊέστατε 3. παθένεσθαι 5. ἐτεάλξεων μηδὲ παλαιᾶς ἐκ τοῦ πάλαι 6. εἶχον ἐκ τοῦ ἔχων 7. ἐπιλογϊσμῶν 10—11. σαῦτὸν ἔλα.

μ´ Περιλαμβάνεται ἐν φ. 207β—208α τοῦ Ὀξωνιακοῦ κώδικος Misc. 242.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἅμα τῷ ἐκπεσεῖν τὸν φίλον τῆς ὄψεως ἐκπέσῃ καὶ τῆς ἀγάπης, ἀλλ' ἐν αὐτῷ τῷ ἐνδομυχοῦντί σου τῆς ψυχῆς ταμείῳ, καί, ἵνα τι καινότερον εἴπω, ἐν τῇ τῆς ψυχῆς ψυχῇ, εἴ τίς ἐστι καὶ τῆς ψυχῆς ψυχή, αἱ ἀποθῆκαι τῆς ἀγάπης κεκολαμμέναι τὸ ἀνεπίληπτον ἔχουσι καὶ τὸ ἀλάθητον διδοῦσι τῶν ἐν ψιλῇ συνηθείᾳ ποτὲ γεγονότων σοι. Ἀλλ' ἀντιδοίη σοι Κύριος ὁ τὴν ἀγάπην νομοθετήσας τῆς ἀδόλου φιλίας τὸ μίσθωμα ἔγκαρπον καὶ παράσχοι ἀλλήλοις συνελθεῖν πρὶν ἐνθένδε ἀπελθεῖν.

μα'.

**Τῷ αὐτῷ**

Καὶ τὸ κάτοξυ τῆς τῶν γραμμάτων εἰσπράξεως καὶ ἡ ἀνεξερεύνητος ἔρευνα τῶν προσεκρετικῶν χουνουβαριασμάτων, ἵνα καὶ τὸν λόγον συμβαβαρωθῶ καὶ τοῖς τὸν λόγον καὶ τὸν τρόπον βαρβάροις, στενώσαντα πάντοθεν, στενὴν ἠνάγκασαν ἐνθεῖναι καὶ τὴν γραφήν. Οὐ γάρ ἐσμεν ἑαυτῶν, ἀλλὰ τῶν ἀγόντων ἡμᾶς ἢ μᾶλλον εἰπεῖν τῶν ἀγομένων ὑπὸ τῶν ἀγόντων τοὺς ἄγοντας. Τὸ αἰτηθὲν σίγιστρον, ἢ μᾶλλον εἰπεῖν τὸ ὑποσχεθέν, ἐξεπέμφθη, ὅσον μὲν εἰς τὴν ἐργασίαν οὐκ ἄχρηστον, εἰ δὲ καὶ τῇ σῇ ἀρεσκείᾳ καὶ ὑπουργίᾳ χρήσιμον, ἄδηλον. Γνώριζέ μοι τὰ κατὰ σὲ καὶ [τὰ] τῶν φίλων καὶ

1. εκπεσεῖν 2. ἐνδομυχοῦντι τί 5. ἐλάθητον δϊδοῦσι ἐκ τοῦ δηλοῦσι 6 σοι ἐκ τοῦ σου ἀντιδοίη σικε.

μα' Περιλαμβάνεται ἐν φ. 208α-β τοῦ Ὀξωνιακοῦ κώδικος Misc. 242.

10. τῷ προσεκρικῶν πρβλ. τοὺς μετὰ τὸν Θεοφάνην (Theophanes Continuatus) ἐκδ. Βόννης σ. 441, 16:

Στεφάνου καὶ Κωνσταντίνου τῶν βασιλέων κατενεχθέντων ἀπὸ τοῦ παλατίου προτροπῇ Κωνσταντίνου τοῦ πορφυρογεννήτου, χωνουβαριασμὸς γέγονεν ἐν τῷ οἴκῳ τοῦ μαγίστρου Ἰωάννου τοῦ Κουρκούα τοῦ ἀποδομεστίκου τῶν σχολῶν καὶ εἰς τὸν τοῦ μαγίστρου Ρωμανοῦ Σορωνίδου καὶ καὶ εἰς ἑτέρους καὶ διαφόρους οἴκους, καὶ διαρπαγὴν καὶ πτωχείας αὐτοῖς προξένησαν.

Ἐν τῇ λατιν. μεταφρ. contigit gravi hiata terram dehiscere ..

12. ἐνθεῖναι ἐκ τοῦ 13. ἐνθῆναι γὰρ ἐσμὲν 14. σίγιστρον ἔχει καλῶς;

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣ. ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῦ κοινοῦ πατρὸς καὶ θείου, ἕως τῇ βασιλευούσῃ ἐμπολιτεύῃ καὶ μήπω ἐξορμήσῃς πρός τὰ τῆς Μονεμβασίας κλυτὰ δώματα ἢ μέλαθρα, κλυτὰ δὲ χάριν σήν, ἐπεὶ καθ' ἑαυτὰ καὶ μάλα κλιτὰ καὶ πεπονημένα καὶ κείμενα. Ὑγίαινε ἐν Θεῷ.

μβ'.

Τῷ αὐτῷ

Δεῖγμα σχολῆς ἡ παροῦσα γραφή· μὴ γὰρ οἴου με σχολάζοντα σιωπᾶν τὰ πρὸς σὲ καὶ ἄναυδον εἶναι καὶ ἀπροσαύδητον, ἀλλὰ σιωπῶντα οἴου με τοῖς πράγμασι περικλύζεσθαι. Ἄρτι γοῦν τοῦ συμποσιαρχεῖν καὶ τοῦ κωθωνίζεσθαι σχολάσας ἐπὶ μικρόν, μᾶλλον δὲ οὐ σχολάσας, ἀλλ' ὑποκλέψας καὶ ὑπεξαγαγὼν ἑαυτὸν τοῦ ὀκτανείου καὶ τοῦ ἐγχεῖν τὸ ζωρότερον καὶ προπίνειν φιλοτησίας ἀπροαιρέτους τοῖς οἷς οὐ βουλόμεθα, γέγονά τε ἐμὸς καὶ εὐθὺς ὑμέτερος, καθηκώς τὴν χεῖρα, μόλις ἰσχύουσαν ἐξυπηρετῆσαί σου τῇ γραφῇ. Οὐ γὰρ οἷά τε ἦν τὸν γραφέα διανέχειν κάλαμον τῷ κατάκοπος εἶναι καὶ ἀχθοφορεῖν τοὺς καθημερινοὺς καὶ πανημερίους κώθωνας, πολυχωροτάτους τε ὄντας καὶ καταγόμους, οὓς ἀντὶ τῶν βιβλίων, οἷς συνανετράφημεν, ἐπιχειλεῖς καὶ πλήθοντας ἐξονυχίζομεν. Καὶ δέος μή, προϊόντος τοῦ πράγματος, Οἰνόμαος ἀντ' ἐμοῦ ἐπανήξω σοι, εἴ γε καὶ ἐπανήξω σοι. Ἵνα δὲ σοι καὶ πλεῖον εὐαγγελίσωμαι, κατώρθωκα καὶ τὴν μαγειρικήν, πολυστάθμου τυχὼν αὐλῆς. Ἐν τούτοις καὶ τοιούτοις ἡμεῖς οἱ βαρυτάλαντοι καὶ βαρύπλουτοι οἳ πολλάκις καὶ τὸ Θεόγνιδος ἐπιλέγομεν μικρὸν παραμείψαντες, ὅτι πλοῦτον καὶ πενίην ἀπεύχομαι, εἴη δέ μοι ζῆν ἀπὸ τῶν ἐνόντων, μηδὲν ἔχοντι κακόν. Σὺ δέ μοι εὐέκτει εἴς τε τὸ ὁρώμενον καὶ τὸ νοούμενον καὶ μέμνησό μου ἀνεπιλήστως, καὶ φίλει τὴν ἰθυγενῆ φιλίαν καὶ ἄδολον καὶ κατὰ τὸ ἰῶτα ἀπευθυνομένην ἀλλ' ὡς μὴ τόξον καμπυλευομένην· οὐ γὰρ ταῖς καμπύλαις

καὶ τῶν 1. βασιλεβούσῃ ἐμπολιτέβῃ 2. δόματα.

μβ Περιλαμβάνεται ἐν φ. 208β—209α τοῦ Ὀξωνιακοῦ κώδικος Misc. 242.

7—8. συμποτιαρχεῖν 9. ἑαυτοῦ ἀγχεῖν 11. οἷς οὐ ἡμέτερος καθηκὼς τὴν χῆρα οἷα 16. ἐπὶχηλαῖς 19. ἐβαγγελίσωμαι 26. Ἐν τῇ ᾠᾳ Cn ὅρα 26. τόξῖ καμπηλεσομένην καμπύλοις

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐνευδοκιμοῦμεν, ἀλλ' ἐν ταῖς ἰθύτησι. Περὶ τοῦ καλοῦ Συνάδων δήλου εἴ τι ἐν γνώσει σοι.

μγ΄.

**Τῷ αὐτῷ**

Περὶ δεσμοὺς τοῦ γράμματος ἦμεν ἡμεῖς, καὶ πτερόεσσα φήμη, οὐκ οἶδ' ὅθεν πτερυξαμένη ἐπλήρωσε καὶ λόγου καὶ χάριτος ἡδονῆς· ἐκήρυσσε δὲ ἡ φήμη τὸν καὶ προσρήματι καὶ τῷ πράγματι μόνον Ῥωμαῖον τὸν Πανέα Γρηγόριον διαιτητὴν καὶ δικαιοδότην τοῦ 'Ανατολικοῦ [ὀνομασθῆναι]. Ἡμεῖς οὖν, γειτονοῦντες τῷ θέματι καὶ πειρώμενοι γειτονικῶν ἀηδιῶν, χρήζομεν τοῦ τοὺς χειροδίκας κωλύσοντος μὴ ἔχειν μείζονας τοῦ δικαίου τὰς χεῖρας μηδὲ τῶν νόμων ἰσχυροτέρας τὰς γλώσσας. Καὶ ἐπὶ μὲν τῇ ἀπροσκλινεῖ δικαιοδοσίᾳ τοῦ ἀνδρὸς χαίρομεν, ἀγωνιῶμεν δὲ τῷ ἀσυνήθεις εἶναι αὐτοῦ καὶ πεῖραν ἡμῶν μηδεμίαν δεδωκέναι αὐτῷ ἢ τὴν ἐκείνου ἡμᾶς λαβεῖν. Εἰ μὲν οὖν μὴ φήμη τῷ ὄντι τηνάλλως πετομένη ᾖ ἡ φήμη, ἀλλὰ λόγος ἐστὶν ἐναργὴς ἢ ἡ φήμη μέν, ἀλλ' ἡ θεὸς ἐκείνη ἢ μὴ πάμπαν ἀπόλλυται, δός μοι ὤμοισιν τὰ σὰ τεύχεα. ἐπ' αὐτῷ θωρηχθῆναι, τὴν σὴν φημι πρὸς ἐκεῖνον συνήθειαν, καὶ σύστησόν με αὐτόθεν αὐτῷ καὶ πεῖσον ἔχειν ἐμὲ ἄλλον σέ. Εἰ δὲ μὴ μόνοις τοῖς ἀπὸ γλώσσης αὐτόθεν συστατικοῖς, ἀλλὰ καὶ γράμμασιν ὀχυρώσεις τοῖς πρὸς ἐκεῖνον μὲν χαραχθησομένοις δι' ἐμέ, πεμφθησομένοις δ' ἐμοί, ἵν' ἔχω αὐτὰ συνεθίζοντά με πρὸς αὐτὸν καὶ συνιστῶντά με τούτῳ, ἀπέχεις μοι πάντα τέως τὰ ἀπὸ σοῦ πρὸς αὐτόν.

εὐδοκιμοῦμεν 1. συνάδων.

μγ΄ Περιλαμβάνεται ἐν φ. 209α—β τοῦ 'Οξωνιακοῦ κώδικος Misc. 242.

3. ἦμεν πτεροσσο πτερυξαμένη ἐκ τοῦ περυπταμένη ἐν τῷ κειμένῳ, ἐν δὲ τῇ ὤᾳ πτερυξαμένη 5. πρὸςρήματι 8. τούτους 9. μὴδὲ 12. μὴδὲμίαν 13. τωόντϊ τηνάλως 14. ἐναργὴς ἐκ τοῦ ἐναργῆς ἢ μὴ 15. ὤμοιϊν θωρηχθῆ 12 σύστησον 17. ἄλλον διασὲ 20. συνιστῶντα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μδ'.

**Τῷ αὐτῷ**

Φιλία καὶ δειλία γεγόνασιν αἴτια, δέσποτα, καὶ τοῦ γράψαι νῦν καὶ τοῦ μὴ γράψαι ἄχρι τοῦ νῦν, ἡ μὲν πολλὰ ὑποτεθεῖσα τὰ δίκαια, ἡ φιλία, καὶ πρὸς τὸ γράφειν ἀλείφουσα, τὴν δὲ ἀμαθίαν ἡ δειλία προϊσχομένη καὶ τῆς γνώμης ἀπάγουσα. Ἀλλ' ἡ ἀγάπη πρᾶγμα βιαιότατον καὶ ὅπλον πάντων κατατολμῶν, ἣ μηδὲ τοὺς κρείττονας λέγουσι μάχεσθαι. Παρώσατο γοῦν τὴν δειλίαν καὶ ἀπεδίσκευσε καὶ ἐπτέρωσε τὴν χεῖρα, πρὸς τὴν γραφὴν πολλάκις ἀποναρκήσασαν. Προσαγορεύω τοίνυν τὴν σὴν μακαριότητα, δέσποτα, καὶ δηλῶ σοι, ὡς τῇ τοῦ Θεοῦ εὐμενείᾳ καὶ τῇ ἀλήκτῳ αὐτοῦ περὶ ἐμὲ ἀνοχῇ ζῶν ὑγιαίνω, ἀξιῶ δέ σε μεμνῆσθαί μου, τοῦ ποτὲ σοῦ καὶ οἰκείου σου, οὐκ οἶδα δὲ εἰ καὶ νῦν σοῦ. Ποιεῖ γάρ με μὴ θαρρεῖν τοῦτο λέγειν τὸ μηδὲν ποιεῖν ἄξιόν σου. Ἂν τὸν ἐν πνεύματι κοινὸν ἀδελφόν, ἐμοὶ δὲ φαίνεται καὶ ὑπὲρ ἀδελφόν, τὸν κῦριν Θεόδωρον, ἐγγένηταί σοι θεάσασθαι τὴν ἁρμόζουσαν ἐξ ἐμοῦ διὰ τὸν Φίλιον προσαγόρευσον. Μέμνησό μου, μέμνησό μου, δέσποτα, τοῦ εἰς μηδὲν εὐκαιροῦντος ἄλλο ἢ διημερεύειν ἐν πότοις καὶ καθημερινοὺς καὶ πανημερινοὺς κώθωνας διὰ χειρὸς ἔχειν καὶ φιλοτησίας προπίνειν ἀβουλήτως καὶ ἀπροαίρετα.

με'.

**Τῷ αὐτῷ**

Μικρῷ τῷ τοῦ Ἰκάρου μυθευομένῳ παθήματι περιέπεσον, μακαριώτατε, τῷ ὑψηγόρῳ πτερῷ τῶν ἐπαίνων σου κουφισθείς, καὶ κἂν

μδ'. Περιλαμβάνεται ἐν φ 209β—210α τοῦ Ὀξωνιακοῦ κώδικος Misc. 242.

1. Τιλία 2. ὑποτύθεῖσα 5. μὴδὲ 6. παρῶσαι 8. προσαγορέβω 9. ἀλύκτῳ 10. μεμνῆσθαι οἰκείως σοῦ 12. μὴδὲν ἂν προσέθηκα 16. διημερέβειν 17. πανημερινούς. Μή τοι γραπτέον πανημερίους ὡς ἀνωτέρω ἐν σ. 51, 15; προπίνειν.

με'. Περιλαμβάνεται ἐν φ. 210α-β τοῦ Ὀξωνιακοῦ κώδικος Misc. 242.

19. ἰκαρίου μῦθεβομένῳ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κατέπεσον πτῶμα οὐκ ἐλεούμενον. τῷ τῆς ἐπάρσεως καυχήματι χαυνωθέντος τοῦ κηρωτοῦ δεσμοῦ τῶν πτερωμάτων, εἰ μὴ ταχὺ ὥς εἰμὶ ἐπιγνοὺς κατέγνων ἐμαυτοῦ τῆς ἐλαφρίας καὶ τῆς κουφότητος, ὅτι παρεπείσθην ὅλως εἶναί τις καὶ ζῆν ὁ μηδὲ ὢν μηδὲ ζῶν, ἀλλὰ παραζῶν. Σοὶ μὲν γὰρ ἔχω τὴν γλῶσσαν λέγειν δεδιδαγμένην κοῦφον τὸ καὶ τοῖς μικροῖς περιτιθέναι μεγάλα καὶ τοῖς ἀπτέροις πτερά, ἐμοὶ δὲ καὶ λόγον καὶ γνώμην ἐξασθενοῦντι τὸ δυσαχθὲς ἐπίταγμα φέρειν βαρὺ συμφορώτατον. Μὴ οὖν ἐπιτίθει μοι πέδας βαρείας ἐπαίνων, ἵνα μὴ ταύταις συμποδισθεὶς κατατριβήσωμαι ὁ καὶ δίχα προφάσεων ἐξ ἐμαυτοῦ συντριβόμενος. Οὐ γὰρ ἐπίκαιρον ἔπαινος ἀνδρὶ λειπογνώμονι, ὡς οὐδὲ παιδὶ ποδησυρὲς καὶ πλεῖον τῆς ἡλικίας χιτώνιον. Παρεὶς οὖν τὸ ἐπαινεῖν ἐπίδος σαυτὸν εἰς ἐμὴν ἐκδίκησιν, καὶ σύμπραξον τῷ χαρτοφύλακι ὑπερερεθίζων καὶ παραθήγων τὸν ἁγιώτατον πατριάρχην πρὸς τὸ αὐστηρότερον ἑαυτοῦ γενέσθαι καὶ τομωτέραν πέμψαι τῷ ὑβριστῇ ἐπιτίμησιν. Τίς δὲ οὗτος καὶ τίς ἡ αἰτία τῆς ἐμῆς θλίψεως τῷ χαρτοφύλακι γέγραπται, ὅς καὶ διδάξει τὸν ζητοῦντα μαθεῖν. Ἐμοὶ γὰρ αἰσχρὸν αὖθις ἐρρημένῳ μυθολογεύειν, τὸ δὲ ὀκνηρότερόν μοι εἰπεῖν ὀκνηρότερον ὂν σεσιώπηται.

μϛʹ

**Τῷ αὐτῷ**

Ἄρτι τῆς ἀνωμάλου καὶ τραχείας ὁδοιπορίας παυσαμένοις, ἣν αἰπεινὴν ἂν καὶ παιπαλόεσσαν οἱ περὶ ταῦτα δεινοὶ ὀνομάσαιεν καὶ μήπω τέλεον τὸν κονιορτὸν ἀποτιναξαμένοις τῶν ποδῶν τὴν ἐμὴν χαρίεσσαν ἐπιστολὴν ὁ κομίζων ἐπέδωκε. Καὶ ὁπόσης μὲν ἐπὶ τῇ ταύτης ἀπολήψει γλυκυθυμίας ἐπλήσθημεν οὐκ ἔστι διὰ γραφῆς

2. χαυνοθέντος 3. ἐπιγνοῦς ἐμαὐτοῦ. 4. (δὶς) μὴδὲ 5. παρὰ ζῶν γλώσσαν 8. ἐπιτίθη 9. μὴ αἶς συμποδισθεὶς κατατριβήσομαι ὃ 11. ποδῖοῦρὲς 13. παραθίγων 14—15 τομοτέραν 15. ἐπιτήμησιν 17. μυθολογέβειν.

μϛʹ Περιλαμβάνεται ἐν φ. 210β—211β τοῦ Ὀξωνιακοῦ κώδικος. Misc. 242.

19. Αρτι παυσάμενοι ἀν$\overset{\omega}{_{o}}$μάλου 20. παιπαλόεσαν 21. ἀποτιναξάμενοι χαρίεσαν 23. γλῦκῦμίας

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

παραστήσασθαι. Ὄντως μέλι, γλυκάζον οὐ τὰ σωματικὰ μόρια, ὧν καὶ πρόςκαιρος ἡ ἡδονή, τῶν σῶν θελκτηρίων λόγων ἡ ἠχώ, ἀλλ' αὐτὰ καθαῖρον καὶ ἀποσμῆχον τὰ τῆς ψυχῆς αἰσθητήρια. Ὡς εὐτυχὴς ἐγὼ παρὰ τοιαύτης γραφῆς προςλαλούμενος. Καὶ τί τὰ Κροίσου τάλαντα ἢ κύρειοι θησαυροὶ τῇ ἐπελθούσῃ μοι τανῦν εὐδαιμονίᾳ παραβαλλόμενά τε καὶ παρισούμενα; Λῆρος καὶ γέλως μακρός. Τί γὰρ τῶν ἐν βίῳ θυμηρέστερον ἢ τῶν ὅσα τῶν ὁρωμένων εἰσὶ τερπνότερον τοῦ τοιαύτης κατεμφορεῖσθαι γραφῆς; Οὐκ ἔστιν ὅτε μὴ πάσης ἡμέρας ταύτην ἀνελίττω καὶ θαυμάζω. Πότερον θατέρου προθήσαιμι θάτερον, τὴν καλλιέπειαν; ἀλλὰ τὴν συνθήκην; τὴν φράσιν; ἀλλὰ τὸ τῶν νοημάτων ἐκκρεμὲς καὶ μετέωρον; Ὥςπερ γὰρ ὁ σώματι περιτυχὼν ἀμφοτέρωθεν ἴσῳ τε καὶ καλῷ ἐφ' ᾧ ἂν ἐπιβάλλῃ μέρει τὸν ὀφθαλμόν, ἐκεῖνο καὶ θαυμάζειν ἐπείγεται καὶ οὐκ ἔτι τούτου προκρίνειν τὸ ἕτερον τῷ ἐπ' ἴσης ἀμφοτέροις περιαπαράπτεσθαι, οὐκ ἔστιν οὕτω καὶ τὸ σὸν θατέρου προτιθέναι τὸ ἕτερον. Μόνα γὰρ ἴσασι τὰ σὰ τὴν ἴσην τάξιν ἔχειν διηνεκῶς παρισούμενά τε καὶ ἀντεξεταζόμενα. Ἀλλά τί πάθω, κυάθῳ σαθρῷ μετρεῖν ἐπιχειρῶν τὴν ἀνεξάντλητον ἄβυσσον ὁ χερσωθεὶς ἐγὼ καὶ ψυχὴν καὶ νοῦν καὶ γλῶσσαν ταῖς βιωτικαῖς περιστάσεσιν; Εἰ γὰρ εἶχον σχολήν, ὡς κατακόρως τῶν φιλοσοφίας ὀργίων ἐμφορηθῆναι, οὐχὶ τῆς καταργουμένης μόνον, ἣν Ἀριστοτέλης καὶ Πλάτων καὶ Χρύσσιπος ἐφιλοσόφησαν, ἀλλὰ καὶ ἧς αὐτὸς ἀντέχῃ καὶ περιέχῃ. οὐδ' οὕτως ἂν ἤρκουν πρὸς τοσαύτην ἀντοφθαλμεῖν τῶν λόγων ἁρμονίαν τε καὶ διάρθρωσιν. Ὥςτ' ἀσφαλῶς ἂν ἔχοι τὸ σκάφος τῶν ἐμῶν οὐτιδανῶν λόγων τοῖς τῆς σιωπῆς ἐποκεῖλαι λιμέσι, μήπως, ὑπὸ σαθρὸν γε ὄν, ταῖς παλιρροίαις ὑπέραντλον γένηται. Δώροις δὲ τοῖς ὀρείοις καὶ αὐλίᾳ παραπλησίοις ἡμᾶς δεξιωσάμενον τοὺς ὑλικοὺς καὶ γηΐνους ἡμεῖς ἀντιδεξιούμεθα ἰχθύι ταριχευτῷ καὶ ἰσχάσι μικραῖς

Εἴης μοι διὰ παντὸς ἐρρωμένος, μακαρία, καὶ τρὶς τοῦτο καὶ πολλάκις, ψυχὴ τοῦ ὁλικῶς σε φιλοῦντος μὴ ἐπιλανθανόμενος Μιχαήλ.

5. τανῦν. 6. γέλος 8—9 μὴ τὰ τῆς ἡμετέρας ταύτην 9 καὶ θατέρου 10. θάτερον σὴνθήκην ἐκ τοῦ σὴν θήκην 11 εκκρεμὲς 13. ἐπιβάλλει ἐκεῖνον 14. ἐπίσης 19. γλώσσαν 20. ὀργιῶν 25. σϊοπῆς 27. Ἀντὶ τοῦ ὀρειοις γραπτέον ὑπεργείοις; αὐλία δεξιωσάμενος.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μζ΄.

**Τῷ αὐτῷ.**

Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς καὶ πετασθήσομαι καὶ καταπαύσω πρὸς τὸν ἐμοὶ περιψύχιον; Ὁ γὰρ θεοπάτωρ Δαυὶδ ἄρτι μοι τοῦ λόγου τὴν ἀρχὴν ἐπιδαψιλεύει τρανότερον, πρὸς ἄβυσσον ἀπαρχομένῳ γράφειν πνευματικῆς φιλίας καὶ λόγων ἰκμάδα ταῖς κοσμικαῖς ἀνομβρίαις μὴ κεκτημένῳ τὸ σύνολον. Ποῦ ποτε διάγεις, ὦ φιλότης, καὶ πῶς ὁ φθόνος ἡμᾶς εἰ μὴ τῷ πνεύματι, ἀλλά γε τοῖς σώμασιν ἀπ' ἀλλήλων διέστησε; Πῇ δὲ τῷ σῷ πόθῳ τετρυχωμένους ταῖς μελιρρύτοις σου τῶν λόγων ἐπιρροαῖς μὴ τοὺς ἐκτόπως σε φιλοῦντας ἡμᾶς κατεδρόσισας; Οὐκ ἔχω τοῦτο σαφῶς ἐπαινεῖν. Ἀλλ' ἔθου μοι κἂν ὀψέ ποτε τὸ τῆς Ἀμαλθείας κέρας ἡ τῆς σῆς δεξιᾶς πεφιλημένη ψυχή. Ὑπὲρ γὰρ τὸν Μίδου χρυσὸν καὶ τὰ Κροίσου μοι τάλαντα τὰ τῶν χειρῶν σου γράμματα, καὶ γενοίμην ἐν μετουσίᾳ τοῦ πνευματικῶς φιλοῦντος καὶ οὕτω διαζευχθείην τοῦ σώματος.

μη΄.

**Τῷ αὐτῷ.**

Ἐγλιχόμην καὶ αὐτὸς μέχρι τῶν αὐτόθι περαιωθῆναι, λειμῶνας, ἀρούρας τε καὶ φυτῶν ὀρχάτους ἰδεῖν καὶ τούτοις ὡς ἐνὸν ἑστιάσαι τὸν ὀφθαλμόν, οὐχ ὡς ἄν τις ὑπολάβοι τοὺς τὴν αἴσθησιν διαφεύγοντας· ποῦ γὰρ τανῦν οἱ λειμῶνες ἡδεῖς ἐν μετοπώρῳ τοῖς ἄνθεσιν, ἢ ἄρουραι μηδὲ φαυλοτάτην πόαν ἀναβλαστάνουσαι ἢ φυτὰ φύλλων ἔρημα καὶ καρπῶν; ἀλλὰ λειμῶνας ἰδεῖν, ἀρούρας τε καὶ φυτά, ὡρῶν ἐναλλαγαῖς καὶ πνευμάτων ἐπιφοραῖς εἰδότα μὴ εἴκειν μηδὲ τὸν

μζ΄. Περιλαμβάνεται ἐν φ. 211β τοῦ Ὀξωνιακοῦ κώδικος Misc. 242.

2. Θεόπρωρ. 3. ἐπιδαψιλέβω τρανώτερον 7 τετρυχομενους (ω ὑπεράνω). 8. ἐκ ἐκτόπως. 9. κατεδρόσϊσας ἐκ τοῦ κατεδρόσησας. 11. κρείσου. 12. τάλαντα ἐκ τοῦ ταλάντα.

μη΄. Περιλαμβάνεται ἐν φ. 212α τοῦ Ὀξωνιακοῦ κώδικος Misc. 242.

16. οὐχ' 17. λειμ^ω^νες 18. μὴ^δὲ^. 20. μηδὲ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

οἰκεῖον ἀποβάλλειν καλλωπισμόν, τὰ τῆς σῆς, λέγω, θείας καὶ μεγαλοφυοῦς ψυχῆς, ὧν οἱ καρποὶ ὀσμὴν ζωῆς ἀθανάτου τοῖς χρωμένοις ἐκπέμπουσιν. Ἀλλὰ τρία τὰ πεποιηκότα μου τὴν τῆς ἐπιδημίας ἀναβολήν, ἡ τοῦ ἔαρος ἀθρόα μεταβολή, ἡ τῷ σώματι μετρίως ἐπισκήψασα νόσος καὶ ἡ τῆς ἐκκλησίας δουλεία. Οἶδας γὰρ ὡς ἐγὼ πρὸς ταῦτα ψοφοδεὴς καὶ στυγῶν ὁρᾶν κυμάτων ἐκβολὰς τῇ νηὶ προσαρασσομένας καὶ πνευμάτων ἐπιφοράς. Εἴ τις οὖν ἐστι καὶ ἄλλῳ τοιαύτας προβαλλομένῳ ἀφορμὰς συγγνώμη πρὸς τὸ ἀδύνατον, ἕξω κἀγὼ τὴν ἐκεῖθεν ἀμέλει.

Εἴης μοι ἐρρωμένος καὶ τοῦ πρὸς τὰ οἴκοι νόστου φροντίδα τιθέμενος.

μθ΄.

**Τῷ αὐτῷ.**

Ἤδη σε κόρον ἔχειν ἡγοῦμαι τῆς αὐτόθι διατριβῆς. Εἰ οὖν ὡς αὐτὸς ἔχω καὶ σοὶ δοκεῖ, τὰ κατ' οἶκον ἀφεὶς μνήσθητι λοιπὸν καὶ τῆς πρὸς ἡμᾶς ἐπανόδου, τὰς περὶ τὴν τεκοῦσαν σκήψεις ἀποσεισάμενος. Οὐ γὰρ ἐπὶ μόνοις ἡμῖν τὸ τοῦ θανάτου συμβέβηκεν, ἀλλ' ἄνωθεν διὰ τὴν παρακοὴν τὸ τοιοῦτον παρὰ θεοῦ δοθὲν ἐπιτίμιον ὡσανεὶ κλῆρος πατρῷος εἰς τοὺς ἐξ Ἀδὰμ διαβέβηκεν ἅπαντας. Φέρειν οὖν δεῖ γενναίως εἰδότας προσκρούειν θεῷ τοὺς τῷ ἐκείνου προστάγματι δυσχεραίνοντας. Σὺ οὖν ἧκε τάχιον πρὸς ἡμᾶς ἐρρωμένος ψυχῇ τε καὶ σώματι. Τοῦτο γὰρ περὶ πολλοῦ τίθεται καὶ ὁ γραφεὺς τῆς ἐπιστολῆς ὁ πολλά σε ποθῶν.

ν΄

**Τῷ αὐτῷ**

Τὸ χρῆμα τῶν ἐπιστολῶν ἡ φύσις ψυχαγωγίαν τινὰ καὶ παραμυ-

6. στέγων ὀρᾶν 7. προσαρρασομένας ἐπιφορὰς ἐκ τοῦ ἐπιφορᾶς 8. ἀφορμὰς ἐκ τοῦ ἀφορμᾶς 9. ἀμέλειαν. 10 ἐρρώμεμενος καὶ τὰ πρὸς τὰ πρὸς τὰ οἴκοι.

μθ΄ Περιλαμβάνεται ἐν φ. 212α-β τοῦ Ὀξωνιακοῦ κώδικος Misc 242.

12. Ἔδη 16. ἐπιτίμῖον 18. ἐκείνῳ 20. παρὰ πολοῦ.

ν΄. Περιλαμβάνεται ἐν φ. 212β—213α.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

θίαν ἐπὶ τοῖς ἀποῦσι τῶν φίλων ἐμηχανήσατο· ὑποτίθησι γάρ τινα φαντασίαν κατὰ τὴν ἐντυχίαν αὐτὴν τῆς τῶν φιλτάτων παρουσίας καὶ τῆς γνώμης μικροῦ τὴν ἔφεσιν περίστασιν ἐναργῶς. Διὸ καί τις εἰκόνας ταύτας τῶν ἀπόντων ἀποκαλῶν, εἰκότως τοῦ δέοντος οὐχ ἡμάρτανεν. Ὁ γὰρ φιλοῦντος ἐντυγχάνων στελλομένη γραφῇ κατ' αὐτὴν ἀπόληψιν καὶ ἀνάπτυξιν τῷ δοκεῖν τῷ φίλῳ προσδιαλέγεσθαι τὸ ἐφιέμενον τῆς ψυχῆς χαρμονῆς ἐνέπλησεν ἀκραιφνοῦς. Ἔγωγ' οὖν τὸ ἐπ' ἐμοὶ καὶ σύνειμί σοι κατὰ τὸ ἐνὸν καὶ θαμὰ πρὸς σὲ ποιοῦμαι γραφάς. Σὺ δέ, εἰ μὴ θυμοδακὲς εἰπεῖν, τῷ τόπῳ τὸν τρόπον διέστησας, καὶ τὰς χελιδόνας ἀτεχνῶς μιμῇ. Ἐκεῖναι γὰρ τὴν ἀρχὴν τοῖς ἀνθρώποις ἐνοικιζόμεναι ᾠδικαί πως εἰσὶ καὶ λαλίσταται, σιγῶσαι δὲ τὴν ἀποικίαν πεποίηνται. Καὶ αὐτὸς οὖν ἐνδημῶν μὲν τοῖς ὧδε πολύς τις ἔρρεις καὶ τὸν λόγον ἧς οὐκ εὐκατάσχετος τρόπον χειμάρρων, οἳ ὀξύτατα φέρονται καὶ μάλισθ' ὅταν τύχωσιν ἐπειλημμένοι πρανοῦς καὶ τῷ ῥεύματι πλήθωσιν. Ἐπεὶ δὲ τῶν ἔνθεν ἀπῆρας τῷ σώματι, διέστησας τὴν φωνὴν καὶ οὐδὲ μικρὸν ἀνέχῃ προφέρειν ἡμᾶς τὰς γραφάς, κατολιγωρήσας, ὡς ἔοικε, καὶ φιλίας καὶ προσήκοντος φιλικοῦ. Ἀλλ' εἰ μὴ βούλῃ γραφὴν φιλίας ἀδικουμένης ἀποίσεσθαι καὶ ἀδυσώπητον τὴν κρίσιν ταῖς δικανικαῖς κατανάγκαις ἐπιφορτίσασθαι, συχνότερον ἐπείχθητι πονεῖσθαι τὰς γραφὰς καὶ κατεμφορεῖν αὐχμῶσαν καὶ ἄγονον ψυχὴν τοῦ γλυκυτάτου σου νέκταρος, ἴσως καταρδευθεῖσα τούτῳ καὶ πιανθεῖσα ἀνθήσει καρπὸν ἐντελῆ τε καὶ ἄρτιον καὶ φιλίας οὐ διαπιπτούσης ἐπάξιον.

να'.

**Μεθοδίῳ πατρικίῳ**

Μὴ νομίσῃς, ἐνδοξότατε κύριέ μου καὶ πνευματικὲ ἀδελφέ, ἧττόν σου λυπηθῆναί με ἐπὶ τῇ τοῦ κοινοῦ λαοῦ πατρὸς στερήσει, ἀλλ'

3. ἐναργῶς ἐκ τοῦ ἐνᾶργῶς 8. σύνημί ση 11. ᾠδικαὶ 11—12 λαλίστατοι 13. πολὺς τὶς ἔῤῥεις 14. χειμάρρων 18. βου^λ 20. ἐπΐχθητΐ 22. καταρδευθεῖσα ἐκ τοῦ καταρδευτεῖσα.

να'. Περιλαμβάνεται ἐν φ. 213α β τοῦ Ὀξωνιακοῦ κώδικος Misc. 242.

24. ἧττον 25. λυπηθῆναι

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

εἰ μὴ πλέον, τέως ἴσον πληροφορήθητι. Διδάσκειν οὖν σε ἢ παραμυθεῖσθαι οὐχ οἷός τ' εἰμι καὶ ὀλίγος ὢν καὶ ἀπόδημος καὶ τοσοῦτον διεστηκώς. Θεὸς δὲ ὁ μέγας καὶ βοηθὸς καὶ σκεπαστὴς γένοιτο σοι καὶ παραμυθία καὶ ἀντίληψις καὶ πατὴρ ἀθάνατος ἀντὶ πατρὸς ἐκείνου, τοῦ μακαρίου μέν, θνητοῦ δέ. Τὰ δ' ἡμέτερα οὐχ ὡς ἤλπιζον προέβη, ἀλλ' ὡς ὁ θεὸς ὁ καλός, ὁ πάνσοφος ᾠκονόμησε, καὶ οὕτως ἐγὼ λέγω, ὡς οὐδ' ἐγὼ προσεδόκησα ἢ ἄλλος τις. Καὶ γὰρ πρῶτα μὲν ἐκεῖνα ἃ ἤλπισας ἐμελετήθη καὶ ἐσκευάσθη, ἔπειτα ἐν Φραγκίᾳ εἰσελθόντες τὰ τῆς συμπενθερίας ἐνηργήσαμεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

### Παύλῳ ἡγουμένῳ καὶ θείῳ

Σὺ μέν, ὦ μακάριε πάτερ, σπλάγχνοις, εὖ οἶδα πυρούμενος, πατρικοῖς καὶ τῆς συνήθους περὶ ἡμᾶς προνοίας οὐκ ἐξιστάμενος· καὶ γὰρ ὡς ἀληθῶς εἶ φιλότεκνος ὡς οὐκ οἶδ' εἴ τις ἀνθρώπων· οὐκ ἀνίης ἐγκείμενος εἰσηγούμενός τε ἡμῖν ἐν πᾶσί τε τὸ λυσιτελοῦν ὡς ἧκεν εἰς τὴν ἡμετέραν προμηθούμενος κρίσιν τε καὶ σπουδήν. Ἓν δὲ καὶ τοῦτο τῶν καλῶν ὑμῶν παραινέσεων, μὴ ἐς προφανῆ κίνδυνον ἑαυτὸν καθιέναι, μηδ' ἀλογίστῳ τινὶ καὶ ἀμέτρῳ κεχρημένον φιλίᾳ πρὸς τὸν διδάσκαλον λαθεῖν ἑαυτὸν κακοῖς περιπείραντα τῷ τε συνεχῶς φοιτᾶν παρ' αὐτὸν καὶ τῷ δοκεῖν ὥσπερ τῆς ἐξουσίας ὀλιγωρεῖν τοῦ κινδύνου παραπολαύσαντα. Ἐγὼ δὲ πῶς ἄρα πρὸς τὰς ὑμῶν διαγίνομαι συμβουλίας; Ἆρα λῆρος ἐμοὶ παραίνεσις πατρική; ἆρα γελᾶν μοι δοκῶ τὴν διάταξιν; Οὐδαμῶς, οὐχ οὕτω σκαιός οὐχ οὕτως εἰμί, φορτικῶς εἰπεῖν, ἀπαίδευτος ἐγώ. Εἰ δ' εἰς τοσαύτην χωρήσειν ἀπόνοιαν συγχωρήσει Θεός, ὥς τινος τῶν ὑμετέρων

1. πληρωφορήθητι. 2. οἷος τ' εἰμὶ 3. διεστῖκὼς 5. μακαρίτου 5. ὦσχῶς 7. ἄλλὸς 8. ἐσκεβάσθη 9. φραγγείᾳ συμπεθερίας.

Περιλαμβάνεται ἐν φ. 111α—113β τοῦ Βιενναίου κώδικος Phil. gr. 342. [Ἐν τῷ πίνακι ἀποδίδεται εἰς Νικήταν τὸν Παφλαγόνα].

13. ὃς 16. κεκτημένον 19. παραπολαύσαν. ἄρα πρὸς 22. φορτικῶν.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀλογίστως καταφρονεῖν ἐντολῶν, κἂν τῶν ἐλαχίστων οὖσα τύχῃ· οὐδὲ γὰρ οἷόν τε τοσούτων ἀμνηστεῖν εὐεργεσιῶν, εἰμὴ πάντη τὰς φρένας λοιπὸν παρακόπτοιμεν· ἀλλὰ τί πάθω, τίς γένωμαι; Ἀνάγκη γάρ τις ἑτέρωθεν ἀπαραίτητος καὶ δεσμὸς ἀδαμάντινος τῆς τοῦ ἀνδρὸς ἐφέλκεται ἀρετῆς, συνδέων μὲν αὐτῷ καὶ συμπιέζων ἀσφαλῶς ἄγαν, τὴν δὲ λύσιν οὐκ ἐνδιδούς· καί ποτε πειραθέντα κἂν σώματι τοῦ ποθουμένου βραχὺ γοῦν διαστῆναι· βιάζῃ γὰρ ἐντελλόμενος ἐτυράννησε μᾶλλον ὁ πόθος ἀντισπῶν καὶ μεθέλκων πρὸς ἑαυτὸν καὶ συνάγων πρὸς τὸν ἐρώμενον. Οὐ βραχὺς ἐξ οὗ χρόνος γενναίας ἀρετῆς τοῦ ἀνδρὸς πεπειράμεθα. Ἔδοξεν οὖν ὁμιλίᾳ συχνῇ καὶ συνουσίᾳ τελεωτέρᾳ τὸ ταύτης ἐν αὐτοῖς ἀπογράφεσθαι κάλλος. Πολλῶν γὰρ ὄντων ἡμῖν καὶ μεγάλων, ἃ τὸ πρὸς αὐτὸν συνεκρότησε φίλτρον, τό τε ταῖς ἀρχαῖς τῶν καλλίστων ἡμᾶς ἐπιστῆσαι ἐπιστημῶν καὶ τὸν νοῦν τῆς εὐτελοῦς χαμαιζηλίας ἀνασηκοῦν, συντείνειν δὲ πρὸς τὴν τῆς ἀληθείας ἀνάληψιν, τεχνοῦν δὲ τὴν διάνοιαν, παιδεύειν δὲ φρόνησιν, πρὸς ἀνδρίαν δέ τι μαλθακὸν τῆς ψυχῆς καὶ νηπιῶδες διανιστᾶν, τοῦτο κράτιστόν τε καὶ περιφανέστατον ἔμοιγ' οὖν εἰς φιλίαν, ἡ τοῦ ἀνδρὸς ἀρετή. Ἀνὴρ γὰρ ὁ φιλούμενος ἁπλοῦς μὲν τὸν τρόπον καὶ ἀκατάσκευος, πολυειδὴς δὲ τὴν σοφίαν καὶ φρόνησιν· φρόνησιν οὐχ' ὅση δεῖ πρὸς τὸ τῷ φρονοῦντι μόνον περιποιήσασθαι τὸ λυσιτελοῦν, ἀλλὰ καὶ ὅση πρὸς τὴν τῶν ἐντυχανόντων ὠφέλειαν ἀποτείνεται· πάσης δὲ διπλόης ἐλεύθερος, πάσης δὲ ὑπόπλεως χάριτος, εὐσεβείας, εὐλαβείας, ἀγχινοίας, ὀξύτητος, ἀληθείας, παρρησίας, πάσης συνελόντι φάναι μεστὸς καλοκἀγαθίας. Τούτοις οὖν τοῦ συνδέσμου κατασκευαζομένου, ἆρα τί ἔσται τὸ διακόψαι δυνάμενον; Ἐγὼ μὲν οὐκ' οἶμαι. Εἰ γὰρ ἀνθρωπίνη τις οὕτω δὴ τὸ πρὸς τὸν διδάσκαλον φίλτρον, ὦ πάτερ, ἐξέκαυσεν ἀφορμὴ ἢ χρεία ἐπείγουσα, καθ' ἣν ὡς ἐπίπαν οἱ πολιτικοὶ φιλεῖν ἐπαγγέλλονται, ἢ τὸ πρὸς τὰς αἰσθήσεις ἡδύ· καὶ γὰρ οἶδε καὶ τοῦτο συνδεῖν τοὺς αὐτοὺς ἔστ' ἂν δηλονότι παρῇ· τὶς ἂν δευτέρας ἠνέσχετο συμβουλῆς, ἐξὸν τοῦ καιροῦ γενόμενον καὶ αὐτὸν ὑποστεῖλαί τε ἑαυτὸν καὶ τὸν ἀπὸ τῆς ἐξουσίας ἐπανατεινόμενον φόβον προσφασισάμενον λῦσαί τε τὸ φίλτρον καὶ πόρρω τοῦ φιλη-

7. γ' οὖν 14. παντελοῦς. 25. καλοκαγαθίας. ἄρα 28. χρεῖα 32. ἐπανατεινάμενον.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

θέντος καθίστασθαι. Ἐπεὶ δὲ τούτων οὐδέν, ἀρετὴ δὲ καὶ τὸ καλὸν αὐτὸ τὸν δεσμὸν ἡμῖν ἐνεποίησε τοῦτον, δεσμὸν παντὸς ἀδάμαντος ἰσχυρότερον, πῶς ουκ ἂν εἴη μόνιμά μοι τὰ τῆς φιλίας ταύτης καὶ ἄλυτα καὶ πρὸς πᾶν τὸ διαιροῦν ἄγον σκληρῶς ἀντιβαίνοντα; Τίς δ'ἂν ἄλλη ταύτης διημαρτηκόσιν ἡμῖν καταλίποιτο. Οὐδὲ γὰρ ῥᾶον ἐντυχεῖν ἔστι φίλῳ μὴ πλάσμα μόνον φιλίας, ἀλλ' οὐκ' ἀλήθειαν περιβεβλημένῳ. Τοσούτῳ δὲ δυσχερής· εὖ γὰρ οἶδα, καὶ αὐτὸς συνομολογήσεις· εἰλικρινοῦς φιλίας ἐπίτευξις, ὅσον καὶ κράτιστον τουτὶ τῶν ἄλλων ἐστὶν ἀγαθῶν καὶ τοῦ παντὸς ὑπὸ δικαζούσῃ ἀληθείᾳ τιμώμενον. Πῶς ἂν οὖν πρόωμαι τοσοῦτον καλόν, τοσαύτην εὐδαιμονίαν, ᾗ με θεοῦ χρηστότης ἐδεξιώσατο, ἧς πολλοὶ μὲν ἐρῶσιν, ὀλίγοις δὲ [ἐστι] μετεῖναι χρήματος οὕτως ἀξιαγάστου; Μὴ ἐνόχλει οὖν, ὦ μακάριε πάτερ, μὴ τοσοῦτον περὶ ἡμᾶς διατίθεσο φιλοψύχως, ὡς καὶ ζωῆς ἐπιχειρεῖν ἀφιστᾶν εὐδαίμονος οὕτω καὶ μακαρίας. Τοῦτο μόνον ἐγώ, τῶν ὑπερτέρων ἀλογῆσαι τολμήσας προστάξεων, [δέομαι], ὥστε μὴ ζημιωθῆναι χρῆμα οὐδενὶ τῶν ὄντων ἀνταλλασσόμενον. Τί δεῖ πλείονος τῆς διατάσεως, ἴσον ἐμοὶ θεοῦ τε παραινεῖν ὑποστῆναι καὶ τοῦδε τἀνδρὸς ἐπιχειρεῖν ἀποσπᾶν ; Τρυφή μοι διὰ τοῦτον καὶ τὰ κολαστήρια, καὶ τοσούτῳ πλέον τοῖς ὑπὲρ αὐτοῦ κινδύνοις ἐγκαλλωπίζομαι, ὅσῳ καὶ οὗτος νῦν διὰ Χριστὸν καὶ τὴν τοῦ τούτου νόμου συντήρησιν πρὸς ὅλον μικροῦ κόσμον καὶ βασιλείαν αὐτὴν ἀντιτάσσεται. Πρὸς γὰρ αὖ τοῖς ἄλλοις καὶ ἡ ἐξ ὑπογυίου κατὰ τῆς ἁμαρτίας ἔνστασις τοῦ ἀνδρὸς οὕτως ἡμᾶς τῷ πρὸς αὐτὸν συνέδησεν ἔρωτι, ὡς ἄρρηκτά τε καὶ μονιμώτατα συνηνῶσθαι. Ὥς περ οὖν οὐκ ἂν ἑαυτοῦ ποτ' ἐκσταίην, οὕτως οὐκ ἂν δυναίμην ψυχῆς οὕτω τιμίας καὶ θεοειδοῦς ἀποτέμνεσθαι, ὡς ἄλλῳ δέ τινι σύνειμι ἑαυτῷ, μᾶλλον δ' ὁ αὐτὸς εἶναι δοκῶ, μηδ'ἑνὸς οἷου τε ὄντος διατειχίσαι τὴν οἰκειότητα ἔστ' ἂν οὗτος μὲν δικαιοσύνης προκινδυνεύῃ θεοῦ, ἐμοὶ δὲ πόθος εἰσέρχηται ἀρετῆς. Ἀλλὰ δέδοικας πάντως μή τινι τῶν τυραννεῖν ἑλομένων περιπέσωμεν χαλεπότητι ; Ἀλλ' οὐκ ἄν ποτε τοῦτ' ἔσται, μὴ τὴν ἀρχὴν ἐνδιδόντος ἢ οἰκονομοῦντος ᾧ καὶ τῆς κεφαλῆς ἡμῶν αἱ τρίχες ἠρίθμηνται, εἴπερ

9. ὑποδικαζούσῃ. 12. δὲ μετεῖναι 16. δέομαι προσέθηκα
17. δεῖ. Γραπτέον δή; 19. διατοῦτον. 21. καὶ τὸν τούτου νόμον
23. ὑπογείου 29. προκινδυνεύει

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἡ ἀλήθεια τοῦτ' ἀπεφήνατο. Ὁ δὲ ἐκεῖθεν παρὰ τῆς ἄνωθεν ἀγαθότητος εἰς ἡμᾶς ἐφήκει πῶς οὐκ ἀσπαστὸν καὶ τριπόθητον καὶ τῆς ὄντως ζωῆς τοῖς ἀσπαζομένοις παραίτιον, εἰ καὶ βραχέα πλήσσει τὴν αἴσθησιν. Τίνι γὰρ ἢ τῷ πατρὶ τῆς τῶν τέκνων μελήσει παιδεύσεως, ὃς παίσει μὲν ἴσως, ἰάσεται δέ, μέτρον ἐπιτιθεὶς τῇ παιδείᾳ κατὰ τὴν ἡμετέραν πάντως ἰσχύν, ἀλλ' οὐχ ὑπὲρ ὃ δυνάμεθα, τῆς μάστιγος ἐπιβαλλομένης, ὃς ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν;

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

1. ἄνοθεν

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006